www.tezaurliturgic.ro

# ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ
# Α Ν Δ Ρ Ε Ο Υ
# ΤΟΥ ΔΙΑ ΧΡΙΣΤΟΝ ΣΑΛΟΥ




# ΑΚΟΛΟΥΘΙΑ  ΑΣΜΑΤΙΚ Η

ποιηθεῖσα ὑπό Μιχαήλ τοῦ κρητός

ἐν ἔτει σωτηρίῳ 1997.

www.tezaurliturgic.ro

Ἀφιεροῦται ἡ ἀκολουθία αὕτη πᾶσι τοῖς πάλαι τε καί ἐπ᾽ ἐσχάτων εὐκλεῶς ἀγωνισαμένοις καί ἐνδόξως πεσοῦσι ἐν τοῖς ἱεροῖς τοῦ ἔθνους ἡμῶν ἀγῶσι ὑπέρ τῆς ἁγιωτάτης Ὀρθοδόξου πίστεως καί τῆς ἐλευθερίας τοῦ εὐσεβοῦς καί θεοφυλάκτου ἡμῶν γένους.

Εἴησαν γεγραμμένα αὐτῶν τά ὀνόματα ἐν βίβλῳ ζωῆς.

# ΤΗι ΚΘ΄ ΤΟΥ ΜΗΝΟΣ ΟΚΤΩΒΡΙΟΥ

## Ἡ σύναξις τοῦ ἐν Ἁγίοις Πατρός ἡμῶν Ἀνδρέου, τοῦ διά Χριστόν σαλοῦ.

### ΔΙΑΤΑΞΙΣ ΤΥΠΙΚΗ

1. Χρή εἰδέναι, ὅτι εἰ τύχοι ἡ ἑορτή τοῦ ἁγίου ἐν πάσῃ ἄλλῃ ἡμέρᾳ, πλήν Κυριακῆς, ἡ ἀκολουθία αὐτοῦ τελεῖται ὡς ἔχει ἐν τῇ παρούσῃ φυλλάδι.

2. Εἰ δέ καί τύχοι ἡ ἑορτή τοῦ ἁγίου ἐν ἡμέρᾳ Κυριακῇ ἡ ἀκολουθία αὐτοῦ ψάλλεται κατά τήν ἑξῆς τυπικήν τάξιν:

**α. ΕΝ ΤΩι ΜΙΚΡΩι ΕΣΠΕΡΙΝΩι.** Εἰς τό Κύριε, ἐκέκραξα ἱστῶμεν στίχους δ΄ καί ψάλλομεν στιχηρά ἀναστάσιμα. Δόξα, τοῦ ἁγίου. Καί νῦν, τό ἐν τῷ μικρῷ ἑσπερινῷ κείμενον δογματικόν θεοτοκίον τοῦ ἤχου. Εἰς τόν Στίχον ψάλλομεν τό πρῶτον ἀναστάσιμον στιχηρόν τῶν Ἀποστίχων τοῦ Μεγάλου Ἑσπερινοῦ, εἶτα δέ τά τρία Ἀπόστιχα τοῦ ἁγίου. Δόξα, τοῦ ἁγίου. Καί νῦν, θεοτοκίον. Ἀπολυτίκια· τό ἀναστάσιμον. Δόξα, τοῦ ἁγίου. Καί νῦν, θεοτοκίον (τά κείμενα ἐν τῷ τέλει τοῦ Μεγάλου Ἑσπερινοῦ).

**β. ΕΝ ΤΩι ΜΕΓΑΛΩι ΕΣΠΕΡΙΝΩι.** Εἰς τό Κύριε, ἐκέκραξα ἱστῶμεν στίχους ι΄ καί ψάλλομεν στιχηρά ἀναστάσιμα δ΄ καί τοῦ ἁγίου στ΄. Δόξα, τοῦ ἁγίου. Καί νῦν, τό α΄ θεοτοκίον τοῦ ἤχου. Τό Φῶς Ἱλαρόν, τό Προκείμενον τῆς ἡμέρας καί τά Ἀναγνώσματα τοῦ ἁγίου. Εἰς τήν Λιτήν ψάλλομεν ἰδιόμελον τοῦ ναοῦ, εἶτα δέ τά ἰδιόμελα τοῦ ἁγίου. Δόξα τοῦ ἁγίου. Καί νῦν, θεοτοκίον. Εἰς τόν Στίχον· τά ἀναστάσιμα στιχηρά τῶν Ἀποστίχων. Δόξα, τοῦ ἁγίου. Καί νῦν, θεοτοκίον. Ἀπολυτίκια· τό ἀναστάσιμον. Δόξα τοῦ ἁγίου. Καί νῦν θεοτοκίον (σημειωτέον ὅτι τελουμένης ἀρτοκλασίας εἰς τό καί νῦν ψάλλεται ὡς Ἀπολυτικίον τό Θεοτόκε Παρθένε καί γίνεται ἡ εὐλόγησις τῶν ἄρτων).

**γ. ΕΝ ΤΩι ΟΡΘΡΩι.** Εἰς τό Θεός Κύριος τά ἐν τῷ ἑσπερινῷ ἀπολυτίκια. Μετά τήν α΄ καί β΄ Στιχολογίαν ψάλλονται Καθίσματα ἀναστάσιμα. Μετά τόν Ἄμωμον ψάλλονται τά Ἀναστάσιμα Εὐλογητάρια. Ἀναγινώσκεται ἡ Ὑπακοή καί ψάλλεται ὁ Πολυέλεος καί τά μετ᾽ αὐτόν καθίσματα. Οἱ Ἀναβαθμοί τοῦ ἤχου, τό Ἀναστάσιμον Προκείμενον, καί ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου. Κανόνας ψάλλομεν· τόν ἀναστάσιμον εἰς δ΄, τόν σταυροαναστάσιμον εἰς δ΄ καί τόν τοῦ ἁγίου εἰς στ΄. Καταβασίαι· Ἀνοίξω τό στόμα μου. Μετά τήν γ΄ ᾠδήν ἀναγινώσκεται τό ἀναστάσιμον Κοντάκιον μετά τοῦ Οἴκου αὐτοῦ καί ψάλλονται τά Μεσώδια Καθίσματα. Μετά τήν στ΄ ᾠδήν ἀναγινώσκεται τό Κοντάκιον καί ὁ Οἶκος τοῦ ἁγίου, εἶτα δέ τό συναξάριον τῆς ἡμέρας. Πρό τῆς θ΄ ᾠδῆς στιχολογεῖται ἡ Τιμιωτέρα. Ἐξαποστειλάρια· τό ἀναστάσιμον και τό τοῦ ἁγίου μετά τοῦ θεοτοκίου αὐτοῦ. Εἰς τούς Αἴνους· στιχηρά ἀναστάσιμα δ΄ καί τοῦ ἁγίου δ΄ (σημειωτέον ὅτι ψάλλομεν, ὡς τέταρτον στιχηρόν τοῦ ἁγίου, τό εἰς τούς Αἴνους κείμενον Δοξαστικόν αὐτοῦ). Δόξα, τό Ἑωθινόν. Καί νῦν, Ὑπερευλογημένη. Δοξολογία Μεγάλη· τό Σήμερον σωτηρία καί Ἀπόλυσις.

**δ. ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ.** Τυπικά· ἐν τοῖς μακαρισμοῖς ψάλλομεν ἀναστάσιμα τροπάρια δ΄ καί τήν στ΄ ᾠδήν τοῦ κανόνος τοῦ ἁγίου εἰς δ΄. Ἀπολυτίκια· τό ἀναστάσιμον, τοῦ ἁγίου, καί τό τοῦ ναοῦ. Κοντάκιον· τοῦ ἁγίου. Ἀποστολικόν καί Εὐαγγελικόν Ἀνάγνωσμα λέγεται διπλοῦν, ἤτοι τά τυχόντα τῆς Κυριακῆς καί τά τοῦ ἁγίου. Μετά τό ἐξαιρέτως· Ἄξιον ἐστί. Κοινωνικόν· Αἰνεῖτε τόν Κύριον.

---

# ΕΝ ΤΩι ΜΙΚΡΩι ΕΣΠΕΡΙΝΩι

Εἰς τό Κύριε, ἐκέκραξα ἱστῶμεν στίχους δ΄ καί ψάλλομεν στιχηρά προσόμοια τοῦ ὁσίου.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν μάρτυσι.

Μοναζόντων τά τάγματα, καί πιστῶν τά συστήματα, ἑορτήν χαρμόσυνον δεῦτε σήμερον, πνευματικῶς συγκροτήσωμεν, ἐνθέοις ἐν ᾄσμασι, τόν θεράποντα Χριστοῦ, ἀνυμνοῦντες καί λέγοντες· καθικέτευε, τόν Δεσπότην τῶν ὅλων δωρηθῆναι, ταῖς ψυχαῖς ἡμῶν Ἀνδρέα, τό ταπεινόν Χριστοῦ φρόνημα.

Καθαρότατον θάλαμον, σήν καρδίαν πανόλβιε, εἰς Θεοῦ κατοίκησιν ἐργασάμενος, ἔσωθεν τούτου γενόμενος, Φωτί ἀνεσπέρῳ τε, καί ἀκτίσι θεϊκαῖς, λαμπρυνθείς τήν διάνοιαν, ἐχρημάτισας, ἀκηλίδωτον ἔσοπτρον τήν δόξαν, τῆς Τριάδος ἐξαστράπτον, κόσμου Ἀνδρέα τοῖς πέρασι.

Τό δοχεῖον τῆς χάριτος, Παρακλήτου τό σκήνωμα, τόν λαμπρόν ἀδάμαντα τῆς ἀσκήσεως, τόν ταπεινώσει συντρίψαντα, δαιμόνων τάς φάλαγγας,

καί εἰς τέλος τήν αὐτῶν, καταργήσαντα δύναμιν, τόν θεόκλητον, εὐφημήσωμεν ἅπαντες Ἀνδρέαν, τήν ἐτήσιον τελοῦντες, τῆς αὐτοῦ μνήμης πανήγυριν.

Τῶν ῥεόντων τό ἄστατον, βδελυξάμενος ὅσιε, και τρυφήν τήν μενουσαν ἐκλεξάμενος, ἐν ξενιτείᾳ τόν βίον σου, διήνυσας ἄριστα, καί λιμένι θεϊκῷ, προσωρμίσθης ἐν πνεύματι, τήν ἀνέκφραστον, τοῦ Δεσπότου σου δόξαν ἐποπτεύων, καί ἀντίδοσιν τῶν πόνων, ἀπολαμβάνων μακάριε.

Δόξα. Τοῦ ἁγίου. Ἦχος πλ. α΄.

Ἄγγελοι ἐν οὐρανῷ καί ἄνθρωποι ἐπί τῆς γῆς εὐφραίνονται σήμερον ἐπί τῇ ἐνδόξῳ μνήμῃ τοῦ σοφωτάτου Ἀνδρέου καί σώφρονος. Ἐν ταύτῃ οὖν τῇ εὐσήμῳ ἡμέρᾳ, Χριστόν προσκυνήσωμεν, τόν τοιαύτης δόξης καί χάριτος ἀξιώσαντα τούς ἁγίους Αὐτοῦ, καί παρασχόντα τῷ γένει ἡμῶν ζωήν ἀτελεύτητον, διά τῆς ζωηφόρου ἐκ νεκρῶν αὐτοῦ ἀναστάσεως.

Καί νῦν. Θεοτοκίον. Ἦχος βαρύς.

Τήν ὑπέραγνον μητέρα τοῦ Θεοῦ, δεῦτε πάντες ὑμνήσωμεν. Αὕτη ὑπάρχει ἡμῶν ἡ συμπαθεστάτη προστάτις καί ἐν κινδύνοις ὑπέρμαχος· ἧς τήν ὁλόφωτον Σκέπην πάλαι κατεῖδεν ἐν Βλαχερνῶν τῷ ναῷ Ἀνδρέας ὁ ἔνδοξος σύν Ἐπιφανίῳ, μητρικῶς περισκέπουσαν οἰκουμένης τά πέρατα. Αὕτη ἐστίν ἡμῶν χαρά καί ἐλπίς, καί πρός αὐτήν ὁλοψύχως κραυγάζομεν· Μή διαλείπῃς σκέπουσα ἡμᾶς, Ἄχραντε Δέσποινα· τήν γάρ σήν Σκέπην μόνην καταφυγήν ἐν συμφοραῖς καί κραταίωμα οἱ ἀνάξιοι δοῦλοι σου ἔχομεν.

Τό Φῶς Ἱλαρόν· τό προκείμενον τῆς ἡμέρας καί τό Καταξίωσον, Κύριε.

Εἰς τόν στίχον ψάλλομεν προσόμοια στιχηρά τοῦ ἁγίου.

Ἦχος α΄. Ὢ τοῦ παραδόξου θαύματος.

Ὢ τοῦ παραδόξου θαύματος! ἐκ φθορᾶς πρός ζωήν, σήμερον μεθίσταται, Ἀνδρέας ὁ θαυμαστός καί θεοδόξαστος. Ὁ κόσμῳ φανείς σαλός, τῇ ταπεινώσει Χριστόν ἐκμιμούμενος. Ἐξίστανται στρατιαί, τῶν ἀσωμάτων ὁρῶσαι ἐν σώματι, πρός τάς οὐρανίους σφαίρας, δόξῃ ἀνερχόμενον, τόν γυμνόν καί ἐπαίτην, ἑκουσίως χρηματίσαντα.

Ὢ τοῦ παραδόξου θαύματος! Ὁ στερρός ἀθλητής, στέφος τό ἀμάραντον, χειρί τοῦ δημιουργοῦ, λαμβάνει σήμερον, καί νέμει πᾶσιν ἡμῖν, ἐν τῇ κοιμήσει αὐτοῦ χάριν ἄφθονον. Βοήσωμεν οὖν λαοί, ταῖς τοῦ Ὑψίστου βουλαῖς ἐκπληττόμενοι· χαίροις ταπεινέ Ἀνδρέα, οἰκουμένης καύχημα, ὁ μισήσας τήν δόξαν, τῶν ἀνθρώπων καί τόν ἔπαινον.

Ὢ τοῦ παραδόξου θαύματος, τήν ματαίαν ζωήν κόσμου καί τό φρόνημα, σαλότητι θεϊκῇ ἐμπαίζων ἄριστα, Ἀνδρέας ὁ εὐκλεής, ἡμῖν δεικνύει ὁδόν ταπεινώσεως, ὑπάρχων ξένος ἐν γῇ, καί ἐμπτυσμούς παρά πάντων δεχόμενος, καί κολαφισμούς ἀδίκους, ῥαβδισμούς ὀνείδη τε, ὑπομένων γενναίως, δι᾽ ἀγάπησιν τοῦ κτίσαντος.

Δόξα. Τοῦ ἁγίου. Ἦχος α΄.

Τόν μέγαν ἐραστήν τῆς ἐγκρατείας, Ἀνδρέαν τόν σώφρονα, δεῦτε εὐφημήσωμεν. Οὗτος γάρ Χριστόν ἀγαπήσας, καί τῷ Ἐκείνου ἔρωτι φλεχθείς, ἥλιος καθάπερ ἐν ὀστρακίνῳ σκεύει παραδόξως ἐξέλαμψε. Δίψει καί λιμῷ, ψύχει καί καύσωνι, πενίᾳ καί γυμνότητι, ἑκουσίως ἑαυτόν παραδούς, τό τοῦ Σωτῆ-

ρος ἡμῶν πάθος ἐν τῇ σαρκί αὐτοῦ ἐμιμήσατο. Διό, καί δικαίως οὐρανίων δωρεῶν κατηξίωται, ἀνακρίνειν τῶν ἀνθρώπων τά κρύφια, καί τά μακράν ἐλέγχειν ὡς ἔγγιστα. Αὐτοῦ ταῖς ἱκεσίαις, Χριστέ ὁ Θεός, τήν σήν εἰρήνην παράσχου τῷ λαῷ Σου, καί ταῖς ψυχαῖς ἡμῶν τό μέγα ἔλεος.

Καί νῦν. Θεοτοκίον.
Ἦχος ὁ αὐτός. Πανεύφημοι Μάρτυρες.

Εἰρήνευσον Δέσποινα ἁγνή, τήν ψυχήν μου κύμασι, τῶν συμφορῶν καί τῶν θλίψεων, δεινῶς Πανάμωμε, κλυδωνιζομένην, ἐπηρείᾳ δράκοντος, καί θεῖον πρός λιμένα μέ ἴθυνον, Χριστοῦ τοῦ πλάστου μου, ἐν γαλήνῃ ἀσφαλείᾳ τε, συντηροῦσα ἀεί την καρδίαν μου.

Ἀπολυτίκιον τοῦ ἁγίου (ζήτει αὐτό ἐν τῷ τέλει τοῦ Μεγάλου Ἑσπερινοῦ). Ἀπόλυσις.

---

## ΕΝ ΤΩι ΜΕΓΑΛΩι ΕΣΠΕΡΙΝΩι

Ἀναγιγνώσκεται ὁ Προοιμιακός καί εἶτα στιχολογοῦμεν τήν α΄ στάσιν τοῦ Μακάριος ἀνήρ. Εἰς δέ τό Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ΄ καί ψάλλομεν στιχηρά προσόμοια τοῦ ὁσίου.

Ἦχος α΄. Ὢ τοῦ παραδόξου θαύματος.

Ὢ τοῦ παραδόξου θαύματος! ἐκ φθορᾶς πρός ζωήν, σήμερον μεθίσταται, Ἀνδρέας ὁ θαυμαστός, καί θεοδόξαστος. Ὁ κόσμῳ φανείς σαλός, τῇ ταπεινώσει Χριστόν ἐκμιμούμενος. Θαυμάζουσι στρατιαί, τῶν ἀσωμάτων ὁρῶσαι ἐν σώματι, πρός τάς οὐρανίους σφαίρας, δόξῃ ἀνερχόμενον, τόν γυμνόν καί ἐπαίτην, ἑκουσίως χρηματίσαντα.

Ὢ τοῦ παραδόξου θαύματος! Ὁ στερρός ἀθλητής, στέφος τό ἀμάραντον, χειρί τοῦ δημιουργοῦ, λαμβάνει σήμερον, καί νέμει πᾶσιν ἡμῖν, ἐν τῇ κοιμήσει αὐτοῦ χάριν ἄφθονον. Βοήσωμεν οὖν λαοί, ταῖς τοῦ Ὑψίστου βουλαῖς ἐκπληττόμενοι· χαίροις ταπεινέ Ἀνδρέα, οἰκουμένης καύχημα, ὁ μισήσας τήν δόξαν, τῶν ἀνθρώπων καί τόν ἔπαινον.

Ὢ τοῦ παραδόξου θαύματος, τήν ματαίαν ζωήν κόσμου καί τό φρόνημα, σαλότητι θεϊκῇ ἐμπαίζων ἄριστα, Ἀνδρέας ὁ εὐκλεής, ἡμῖν δεικνύει ὁδόν ταπεινώσεως, ὑπάρχων ξένος ἐν γῇ, καί ἐμπτυσμούς παρά πάντων δεχόμενος, καί κολαφισμούς ἀδίκους, ραβδισμούς ὀνείδη τε, ὑπομένων γενναίως, δι᾽ ἀγάπησιν τοῦ κτίσαντος.

Ἕτερα στιχηρά προσόμοια τοῦ ἁγίου.

Ἦχος β΄ Ποίοις εὐφημιῶν ἄσμασιν.

Ποίοις εὐφημιῶν ἄσμασιν, ἀνυμνήσωμέν σου νῦν Ἀνδρέα, τά ὑπέρ Χριστοῦ ἀγωνίσματα, καί τούς πειρασμούς οὕς ὑπέμεινας, τήν πτωχείαν καί τάς κακουχίας; Τήν πῆξιν γάρ τοῦ χειμῶνος καί τόν καύσωνα, τήν δίψαν καί τῶν ἀνθρώπων τήν σκληρότητα, τήν ἀπαράκλητον θλῖψιν, ὡς σταυρόν ἐπ᾽ ὤμων, ἑκουσίως ἀναλαβών, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, τοῖς ἴχνεσιν ἠκολούθησας.

Πῶς σέ οἱ ἀσεβεῖς ὅσιε, ἐπαινέσωμεν ἀξιοχρέως; Τόν τῆς εὐσεβείας διδάσκαλον, καί τῆς ταπεινώσεως κήρυκα, τόν καθηγητήν τῆς σωφροσύνης, Ἀνδρέαν τόν ἐξαστράπτοντα ἀδάμαντα, δαιμόνων τήν πανουργίαν καταργήσαντα, θεοδιδάκτῳ μωρίᾳ, τόν σοφίας πλήρη, καί συνέσεως θεϊκῆς, τήν κρήνην τήν βρύουσαν, τό ὕδωρ ἡμῖν τῆς χάριτος.

Πόθῳ τήν ἱεράν μνήμην σου, ἐτησίως ἄγομεν Ἀνδρέα, καί ᾀσματικῶς μεγαλύνομεν, τήν εἰς οὐρανούς σου μετάστασιν, ἱκετεύοντές σε θεοφόρε· πρεσβεύειν μή διαλείπῃς πρός τόν Κύριον, ῥυσθῆναι ἐκ τῶν παγίδων τοῦ ἀλάστορος, τούς ταπεινώσει καρδίας, ἐπικαλουμένους, τάς ἁγίας σου προσευχάς, μεγίστην πρός τόν Χριστόν, πρεσβείαν γάρ ἔχεις ὅσιε.

Δόξα. Ἦχος πλ. α΄.

Θαῦμα ὄντως παράδοξον, πάντα βρότειον νοῦν ὑπερέχον, τό τῆς σῆς πανσόφου προνοίας μυστήριον ὑπάρχει Χριστέ! Σύ γάρ ἐπίγειον ἄγγελον τόν σόν οἰκέτην ἀνέδειξας, ὑποκρίσει σαλότητος δι᾿ αὐτοῦ τόν ζόφον στηλιτεύων ἡμῶν τῆς ψυχῆς· τῶν τῆς εἰς σέ εὐσεβείας τό ὄνομα ἐπικαλουμένων, τήν δέ δύναμιν αὐτῆς ἀφρόνως ἀρνουμένων. Ἀλλ᾿ ὅσιε πάτερ Ἀνδρέα, ῥῦσαι ἡμᾶς εὐχαῖς σου ἁγίαις τῶν ἐκ δεξιῶν τοῦ ἐχθροῦ προσβολῶν, δωρούμενος ἡμῖν ἄνωθεν τῆς χριστομιμήτου ταπεινώσεως την χάριν καί τήν ἐλευθερίαν τοῦ Πνεύματος. Μή ἐπιλάθῃ ἡμῶν τῶν ἐκ βάθους καρδίας ὑμνούντων σε.

Καί νῦν. Τό ὁμόηχον α᾿ Θεοτοκίον.

Εἴσοδος. Τό Φῶς ἱλαρόν, τό τυχόν προκείμενον τῆς ἡμέρας καί τά ἀναγνώσματα.

Παροιμιῶν τό ἀνάγνωσμα.

Μνήμη δικαίου μετ᾿ ἐγκωμίων, καί εὐλογία Κυρίου ἐπί κεφαλήν αὐτοῦ. Μακάριος ἄνθρωπος ὅς εὗρε σοφίαν, καί θνητός ὅς οἶδε φρόνησιν. Κρεῖσσον γάρ αὐτήν ἐμπορεύεσθαι, ἤ χρυσίου καί ἀργυρίου θησαυρούς. Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν· πᾶν δέ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γάρ τοῦ στοματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δέ καί ἔλεον ἐπί γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα· σεμνά γάρ ἐρῶ· καί μακάριος ἄνθρωπος ὅς τάς ἐμάς ὁδούς φυλάξει. Αἱ γάρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καί ἑτοιμάζεται θέλησις παρά Κυρίου. Διά τοῦτο παρακαλῶ ὑμᾶς, καί προΐεμαι ἐμήν φωνήν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγώ ἡ Σοφία κατεσκεύασα βουλήν, καί γνῶσιν καί ἔννοιαν ἐγώ ἐπεκαλεσάμην. Ἐμή βουλή καί ἀσφάλεια, ἐμή φρόνησις, ἐμή δέ ἰσχύς. Ἐγώ τούς ἐμέ φιλοῦντας ἀγαπῶ, οἱ δέ ἐμέ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δέ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καί πάλιν, σεμνά γάρ ἐρῶ, καί ἀνοίγω ἀπό χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δέ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετά δικαιοσύνης πάντα τά ῥήματα τοῦ στόματός μου, οὐδέν ἐν αὐτοῖς σκολιόν, οὐδέ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστί τοῖς νοοῦσι, καί ὀρθά τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γάρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπίς ὑμῶν, καί πλησθήσεσθε πνεύματος.

Σοφίας Σολομῶντος τό ἀνάγνωσμα.

Στόμα δικαίου ἀποστάζει σοφίαν, χείλη δέ ἀνδρῶν ἐπίστανται χάριτας. Στόμα σοφῶν μελετᾷ σοφίαν· δικαιοσύνη δέ ρύεται αὐτούς ἐκ θανάτου. Τελευτήσαντος ἀνδρός δικαίου οὐκ ὄλλυται ἐλπίς· υἱός γάρ δίκαιος γεννᾶται εἰς ζωήν, καί ἐν ἀγαθοῖς αὐτοῦ καρπόν δικαιοσύνης τρυγήσει. Φῶς δικαίοις διαπαντός, καί παρά Κυρίου εὑρήσουσι χάριν καί δόξαν. Γλῶσσα σοφῶν καλά ἐπίσταται, καί ἐν καρδίᾳ αὐτῶν ἀναπαύσεται σοφία. Ἀγαπᾷ Κύριος ὁσίας καρδίας· δεκτοί δέ αὐτῷ πάντες ἄμωμοι ἐν ὁδῷ. Σοφία Κυρίου φωτιεῖ πρόσωπον συνε-

www.tezaurliturgic.ro

τοῦ· φθάνει γάρ τούς ἐπιθυμοῦντας αὐτήν, πρό τοῦ γνωσθῆναι, καί εὐχερῶς θεωρεῖται ὑπό τῶν ἀγαπώντων αὐτήν. Ὁ ὀρθρίσας πρός αὐτήν οὐ κοπιάσει· καί ὁ ἀγρυπνήσας δι᾿ αὐτήν, ταχέως ἀμέριμνος ἔσται. Ὅτι τούς ἀξίους αὐτῆς αὐτή περιέρχεται ζητοῦσα, καί ἐν ταῖς τρίβοις φαντάζεται αὐτοῖς εὐμενῶς. Σοφίας οὐ κατισχύσει ποτέ κακία. Διά ταῦτα καί ἐραστής ἐγενόμην τοῦ κάλλους αὐτῆς καί ἐφίλησα ταύτην, καί ἐξεζήτησα ἐκ νεότητος μου, καί ἐζήτησα νύμφην ἀγαγέσθαι ἐμαυτῷ· Ὅτι ὁ πάντων Δεσπότης ἠγάπησεν αὐτήν. Μύστις γάρ ἐστι τῆς τοῦ Θεοῦ ἐπιστήμης, καί αἱρέτης τῶν ἔργων αὐτοῦ. Οἱ πόνοι αὐτῆς εἰσίν ἀρεταί· σωφροσύνην δέ καί φρόνησιν αὕτη διδάσκει· δικαιοσύνην καί ἀνδρείαν, ὧν χρησιμώτερον οὐδέν ἐστιν ἐν βίῳ ἀνθρώποις. Εἰ δέ καί πολυπειρίαν ποθεῖ τις, οἶδε τά ἀρχαῖα καί τά μέλλοντα εἰκάζειν· ἐπίσταται στροφάς λόγων καί λύσεις αἰνιγμάτων· σημεῖα καί τέρατα προγινώσκει, καί ἐκβάσεις καιρῶν καί χρόνων· καί πᾶσι σύμβουλός ἐστιν ἀγαθή. Ὅτι ἀθανασία ἐστίν ἐν αὐτῇ, καί εὔκλεια ἐν κοινωνίᾳ λόγων αὐτῆς. Διά τοῦτο ἐνέτυχον τῷ Κυρίῳ, καί ἐδεήθην αὐτοῦ, καί εἶπον ἐξ ὅλης μου τῆς καρδίας· Θεέ Πατέρων, καί Κύριε τοῦ ἐλέους, ὁ ποιήσας τά πάντα ἐν λόγῳ σου, καί τῇ σοφίᾳ σου κατασκευάσας τόν ἄνθρωπον, ἵνα δεσπόζῃ τῶν ὑπό σοῦ γενομένων κτισμάτων, καί διέπῃ τόν κόσμον ἐν ὁσιότητι καί δικαιοσύνῃ· δός μοι τήν τῶν σῶν θρόνων πάρεδρον σοφίαν, καί μή μέ ἀποδοκιμάσῃς ἐκ παίδων σου· ὅτι ἐγώ δοῦλος σός, καί υἱός τῆς παιδίσκης σου. Ἐξαπόστειλον αὐτήν ἐξ ἁγίου κατοικητηρίου σου καί ἀπό θρόνου δόξης σου, ἵνα συμπαροῦσά μοι διδάξῃ με, τί εὐάρεστον ἐστι παρά σοί. Καί ὁδηγήσῃ με ἐν γνώσει, καί φυλάξῃ με ἐν τῇ δόξῃ αὐτῆς. Λογισμοί γάρ θνητῶν πάντες δειλοί καί ἐπισφαλεῖς αἱ ἐπίνοια αὐτῶν.

Σοφίας Σολομῶντος τό ἀνάγνωσμα.

Ἐγκωμιαζομένου δικαίου, εὐφρανθήσονται λαοί· ἀθανασία γάρ ἐστιν ἡ μνήμη αὐτοῦ, ὅτι καί παρά Θεῷ γινώσκεται, καί παρά ἀνθρώποις, καί ἀρεστή Κυρίῳ ἡ ψυχή αὐτοῦ. Ἐπιθυμήσατε τοιγαροῦν, ὦ ἄνδρες, σοφίαν, καί ποθήσατε, καί παιδευθήσεσθε. Ἀρχή γάρ αὐτῆς ἀγάπη, καί τήρησις νόμων. Τιμήσατα σοφίαν, ἵνα εἰς τόν αἰῶνα βασιλεύσητε. Ἀπαγγελῶ ὑμῖν, καί οὐ κρύψω ἀφ᾿ ὑμῶν μυστήρια Θεοῦ. Ὅτι αὐτός καί τῆς σοφίας ὁδηγός ἐστι, καί τῶν σοφῶν διορθωτής· καί ἐν τῇ χειρί αὐτοῦ, πᾶσα φρόνησις, καί ἐργασιῶν ἐπιστήμη. Ἡ πάντων τεχνῖτις ἐδίδαξέ με σοφία· ἔστι γάρ ἐν αὐτῇ πνεῦμα νοερόν, ἅγιον, ἀπαύγασμα φωτός ἀϊδίου, καί εἰκών τῆς ἀγαθότητος τοῦ Θεοῦ. Αὕτη φίλους Θεοῦ καί Προφήτας κατασκευάζει. Εὐπρεπεστέρα δέ ἐστιν ἡλίου, καί ὑπέρ πᾶσαν ἀστέρων θέσιν· φωτί συγκρινομένη, εὑρίσκεται προτέρα. Αὕτη τούς θεραπεύσαντας αὐτήν ἐκ πόνων ἐρρύσατο, καί ὡδήγησεν ἐν τρίβοις εὐθείαις. Ἔδωκεν αὐτοῖς γνῶσιν ἁγίαν, καί διεφύλαξεν αὐτούς ἀπό ἐνεδρευόντων, καί ἀγῶνα ἰσχυρόν ἐβράβευσεν αὐτοῖς, ἵνα γνῶσι πάντες, ὅτι δυνατωτέρα παντός ἐστιν ἡ εὐσέβεια, καί οὐ μή κατισχύσῃ ποτέ κακία σοφίας, οὐδ᾿ οὐ μή παρελεύσεται πονηρούς ἐλέγχουσα ἡ δίκη. Εἶπον γάρ ἐν ἑαυτοῖς, λογισάμενοι οὐκ ὀρθῶς· Καταδυναστεύσωμεν τόν δίκαιον, μή φεισώμεθα τῆς ὁσιότητος αὐτοῦ, μηδέ ἐντραπῶμεν πολιάς πρεσβύτου πολυχρονίους· ἔστω δέ ἡμῶν ἡ ἰσχύς νόμος. Καί ἐνεδρεύσωμεν τόν δίκαιον, ὅτι δύσχρη-

στος ἡμῖν ἐστι, καί ἐναντιοῦται τοῖς ἔργοις ἡμῶν, καί ἐπιφημίζει ἡμῖν ἁμαρτήματα παιδείας ἡμῶν. Ἐπαγγέλεται γνῶσιν ἔχειν Θεοῦ, καί παῖδα Κυρίου ἑαυτόν ὀνομάζει. Ἐγένετο ἡμῖν εἰς ἔλεγχον ἐννοιῶν ἡμῶν. Βαρύς ἐστιν ἡμῖν καί βλεπόμενος· ὅτι ἀνόμοιος τοῖς ἄλλοις ὁ βίος αὐτοῦ, καί ἐξηλλαγμέναι αἱ τρίβοι αὐτοῦ. Εἰς κίβδηλον ἐλογίσθημεν αὐτῷ, καί ἀπέχεται τῶν ὁδῶν ἡμῶν, ὡς ἀπό ἀκαθαρσιῶν, καί μακαρίζει ἔσχατα δικαίων. Ἴδωμεν οὖν εἰ οἱ λόγοι αὐτοῦ ἀληθεῖς, καί πειράσωμεν τά ἐν ἐκβάσει αὐτοῦ. Ὕβρει καί βασάνῳ ἐτάσωμεν αὐτόν, ἵνα γνῶμεν τήν ἐπιείκιαν αὐτοῦ, καί δοκιμάσωμεν τήν ἀνεξικακίαν αὐτοῦ. Θανάτῳ ἀσχήμονι καταδικάσωμεν αὐτόν· ἔσται γάρ αὐτοῦ ἐπισκοπή ἐκ λόγων αὐτοῦ. Ταῦτα ἐλογίσαντο, καί ἐπλανήθησαν· ἀπετύφλωσε γάρ αὐτούς ἡ κακία αὐτῶν. Καί οὐκ ἔγνωσαν μυστήρια Θεοῦ, οὐδέ ἔκριναν, ὅτι σύ εἶ Θεός μόνος, ὁ ζωῆς ἔχων καί Θανάτου ἐξουσίαν, καί σώζων ἐν καιρῷ θλίψεως καί ῥυόμενος ἐκ παντός κακοῦ· ὁ οἰκτίρμων καί ἐλεήμων, καί διδούς τοῖς ὁσίοις σου χάριν, καί τῷ σῷ βραχίονι τοῖς ὑπερηφάνοις ἀντιτασσόμενος.

Εἰς τήν Λιτήν, ψάλλομεν ἰδιόμελα.

Ἦχος α΄.

Τόν μέγαν ἐραστήν τῆς ἐγκρατείας, Ἀνδρέαν τόν σώφρονα, δεῦτε εὐφημήσωμεν. Οὗτος γάρ Χριστόν ἀγαπήσας, καί τῷ Ἐκείνου ἔρωτι φλεχθείς, ἥλιος καθάπερ ἐν ὀστρακίνῳ σκεύει παραδόξως ἐξέλαμψε. Δίψει καί λιμῷ, ψύχει καί καύσωνι, πενίᾳ καί γυμνότητι, ἑκουσίως ἑαυτόν παραδούς, τό τοῦ Σωτῆρος ἡμῶν πάθος ἐν τῇ σαρκί αὐτοῦ ἐμιμήσατο. Διό, καί δικαίως οὐρανίων δωρεῶν κατηξίωται, ἀνακρίνειν τῶν ἀνθρώπων τά κρύφια, καί τά μακράν ἐλέγχειν ὡς ἔγγιστα. Αὐτοῦ ταῖς ἱκεσίαις, Χριστέ ὁ Θεός, τήν σήν εἰρήνην παράσχου τῷ λαῷ Σου, καί ταῖς ψυχαῖς ἡμῶν τό μέγα ἔλεος.

Ἦχος β΄.

Ὅσιε πάτερ Ἀνδρέα, ὁ μύστης τῶν κρυπτῶν μυστηρίων τοῦ Πνεύματος καί τῆς ἄνω φιλοσοφίας ὁ μέτοχος, γλύκανον τάς πικρανθεῖσας τῇ τοῦ κακίστου ἐχθροῦ πανουργίᾳ καρδίας ἡμῶν, καί τῇ ἰσχύει τῆς θεοδέκτου πρεσβείας σου παρακάλεσον ἡμῶν τάς ψυχάς. Τόν νοῦν ἡμῶν ἐκ τῶν γηΐνων ἀνύψωσον, εἰς τό δοξᾶσαι τούς ὑπέρ Χριστοῦ ἀγῶνας σου, δι᾿ ὧν κατεπλάγησαν ἀγγέλων τάγματα· καί ἀξίωσον πάντας ἡμᾶς ἀνδρείως βαστᾶσαι τῶν πειρασμῶν τοῦ παρόντος βίου τόν χαλεπώτατον κλύδωνα. Πεῖραν δέ ἔχων τῆς ἀσθενείας ἡμῶν, μή παύσῃ δεόμενος ὑπέρ τοῦ σύμπαντος κόσμου· σέ γάρ ἰσχυρόν μεσίτην πρός τόν Σωτῆρα κεκτήμεθα.

Δόξα. Ἦχος πλ. α΄.

Ἄγγελοι ἐν οὐρανῷ καί ἄνθρωποι ἐπί τῆς γῆς εὐφραίνονται σήμερον ἐν τῇ ἐνδόξῳ μνήμῃ τοῦ σοφωτάτου Ἀνδρέου καί σώφρονος. Ἐν ταύτῃ οὖν τῇ εὐσήμῳ ἡμέρᾳ, Χριστόν προσκυνήσωμεν, τόν τοιαύτης δόξης καί χάριτος ἀξιώσαντα τούς ἁγίους Αὐτοῦ, καί παρασχόντα τῷ γένει ἡμῶν ζωήν ἀτελεύτητον, διά τῆς ζωηφόρου ἐκ νεκρῶν αὐτοῦ ἀναστάσεως.

Καί νῦν. Ἦχος Βαρύς.

Τήν ὑπέραγνον μητέρα τοῦ Θεοῦ, δεῦτε πάντες ὑμνήσωμεν. Αὕτη ὑπάρχει ἡμῶν ἡ συμπαθεστάτη προστάτις καί ἐν κινδύνοις ὑπέρμαχος· ἧς τήν ὁλόφωτον Σκέπην πάλαι κατεῖδεν ἐν

Βλαχερνῶν τῷ ναῷ Ἀνδρέας ὁ ἔνδοξος σύν Ἐπιφανίῳ, μητρικῶς περισκέπουσαν οἰκουμένης τά πέρατα. Αὕτη ἐστίν ἡμῶν χαρά καί ἐλπίς, καί πρός αὐτήν ὁλοψύχως κραυγάζομεν· Μή διαλείπῃς σκέπουσα ἡμᾶς, Ἄχραντε Δέσποινα· τήν γάρ σήν Σκέπην μόνην καταφυγήν ἐν συμφοραῖς καί κραταίωμα οἱ ἀνάξιοι δοῦλοι σου ἔχομεν.

Εἰς τόν στίχον, ψάλλομεν στιχηρά προσόμοια τοῦ ὁσίου.

Ἦχος πλ α΄. Χαίροις Ἀσκητικῶν.

Χαίροις ὁ ἱερός ἀσκητής, ὁ μέσον κόσμου ἡσυχίαν οὐράνιον, ἀπάθειαν, θεωρίαν, καί τάς λοιπάς ἀρετάς, τῆς ἐρήμου πάσας προσκτησάμενος. Ὁ νοῦς ὁ λαμπόμενος, ταῖς ἐνεργείαις τοῦ Πνεύματος, ὁ ἐμβατεύων τῶν ἀνθρώπων τά κρύφια, καί τήν ἔκβασιν τῶν μελλόντων σαφέστατα, ἄνωθεν διδασκόμενος, παθῶν τήν διόρθωσιν, ἐν ὑποκρίσει μωρίας, ὁ ἐργαζόμενος πάντοτε· πρεσβεύων δέ ἅμα, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τό μέγα ἔλεος.

στίχ. Μακάριος ἄνθρωπος ὅς εὗρε σοφίαν καί θνητός ὅς οἶδε φρόνησιν.

Ρᾶνον ἐξ οὐρανοῦ δαψιλῶς, τοῖς δεομένοις συμπαθοῦς ἀντιλήψεως, τήν χάριν τοῦ Παρακλήτου, ἀναψυχήν τῶν δεινῶν, τοῖς χειμαζομένοις παρεχόμενος, Ἀνδρέα πολύαθλε, τῶν δέ δαιμόνων τά σκάνδαλα, τάς πολυπλόκους μηχανάς καί βουλεύματα, ἐξαφάνισον παναλκεῖ μεσιτείᾳ σου, ἵνα τήν σεβασμίαν σου, τελέσαι πανήγυριν, ἀξιωθῶμεν οἱ πίστει, σέ κατά χρέος δοξάζοντες, τόν μύστην τῶν ξένων καί ἀρρήτων μυστηρίων τοῦ θείου Πνεύματος.

στίχ. Στόμα δικαίου λαλήσει σοφίαν, χείλη δέ ἀνδρῶν ἐπίστανται χάριτας.

Χαίρει πνευματικῶς καί σκιρτᾷ, ἡ Βασιλεύουσα Πόλις ὡς θρέψασα, πολίτην τῆς βασιλείας τῶν οὐρανῶν καί σπουδῇ, συγκαλεῖται πάντας πρός ἑόρτιον, πανήγυριν σήμερον, ἀσματικῶς μεγαλύνει δέ, τόν ἀθλητήν τῆς εὐσεβείας καί πρόμαχον, τόν πυρίμορφον καί ἐκλάμποντα ἥλιον, λίθον τόν πολυτίμητον, Ἀνδρέαν τόν πάγκαλον, τόν ἀκλεινέστατον στύλον, καί ἐν μωρίᾳ σοφώτατον, τόν γνήσιον δοῦλον, τόν ποιήσαντα ἐν πᾶσι, Χριστοῦ τό θέλημα.

Δόξα. Ἦχος πλ. δ΄.

Τίς ἔγνω νοῦν Κυρίου, ἤ τίς σύμβουλος αὐτοῦ ἐγένετο; Τά γάρ μωρά τοῦ κόσμου καί ἀσθενῆ ἐξελέξατο, ἵνα τά ἔνδοξα καί σοφά καταισχύνει. Τά οὐκ ὄντα καί ἀγενῆ προσελάβετο, ἵνα τήν ἀνθρωπίνην σοφίαν τῷ τοῦ εὐαγγελίου κηρύγματι ἀπωλέσῃ. Ὅθεν καί ὑποκρίσει σαλότητος τήν ἀληθῆ καί ἄνωθεν κατερχομένην σοφίαν τοῖς πιστοῖς ὑπέδειξεν, σκεῦος ἐκλογῆς πρός τοῦτο χρησάμενος Ἀνδρέᾳ τῷ ὄντως μακαρίῳ. Τῇ γάρ ξενοτρόπῳ αὐτοῦ πολιτείᾳ, διδάσκει ἡμᾶς μή τά ὑψηλά φρονεῖν, ἀλλά τοῖς ταπεινοῖς συνεπάγεσθαι· μή τό ἔξωθεν μόνον τοῦ ποτηρίου τῆς ψυχῆς ἐπιμελεῖσθαι, ἀλλά καί τῷ ἔσωθεν τούτου καθαρόν ἀπεργάζεσθαι. Ταῖς τοῦ σοῦ ὁσίου πρεσβείαις Χριστέ ὁ Θεός, τούς πόδας ἡμῶν ἐν τῇ ὁδῷ τῶν σῶν προσταγμάτων κατεύθυνον, καί πάντας ἐλέησον ὡς μόνος φιλάνθρωπος.

Καί νῦν. Θεοτοκίον. Ἦχος ὁ αὐτός.
Ὢ τοῦ Παραδόξου θαύματος.

Πάναγνε Παρθένε Δέσποινα, συντετριμμένη ψυχῇ, τῇ σῇ Σκέπῃ ὁ ἄσωτος, καί ἀχρεῖος δοῦλος σου, κατάφευγω αἰτούμενος, τήν μητρικήν σου

Κόρη συμπάθειαν, καί τήν πλουσίαν φιλανθρωπίαν σου· μή οὖν παρείδης με, τόν εἰς σέ ἐλπίζοντα καί ὀρφανόν, πάσης ἀντιλήψεως, ἀλλά ἐλέησον.

Ἀπολυτίκιον του Ὁσίου.
Ἦχος πλ. α΄. Τόν συνάναρχον Λόγον.

Εὐσεβείας τοῖς τρόποις καλλωπιζόμενος, καί οὐρανόθεν τήν κλῆσιν, ὡς ἄλλος Παῦλος δεχθείς, πολιτείαν ἐπί γῆς, ξένην διήνυσας, κόσμου ἐμπαίζων ἀπαθῶς, τήν ματαίαν βιοτήν, Ἀνδρέα πάτερ θεόφρον, καί τήν πλάνην τῆς ψευδωνύμου, ὑποδεικνύων εὐσεβείας πιστοῖς.

Δόξα καί νῦν. Θεοτοκίον ὅμοιον.

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος· Χαῖρε τεῖχος καί σκέπη τῶν προστρεχόντων εἰς σέ· Χαῖρε ἀχείμαστε λιμήν, καί ἀπειρόγαμε· ἡ τεκοῦσα ἐν σαρκί τόν ποιητήν σου καί Θεόν, πρεσβεύουσα μή ἐλλείπης, ὑπέρ τῶν ἀνυμνούντων, καί προσκυνούντων τόν τόκον σου.

Καί Ἀπόλυσις.

---

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Ὁ ἑξάψαλμος, τό Θεός Κύριος, καί τά ἐν τῷ ἑσπερινῷ ἀπολυτίκια. Μετά δέ τήν α΄ στιχολογίαν, κάθισμα.

Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Τόν σοφίας ἐραστήν, πάντες ὑμνήσωμεν πιστοί, ἐν ᾠδαῖς πνευματικαῖς, καί τήν ἰσάγγελον ζωήν, τοῦ ἀθληφόρου θαυμάσωμεν νῦν Ἀνδρέου. Οὗτος γάρ Χριστόν ἠκολούθησε, θλίψεσι δειναῖς μαστιζόμενος, καί κακουχίαις σώματος πολλάκις, καί πειρασμοῖς χειμαζόμενος. Αὐτόν ὡς πρέσβην, πρός τόν Σωτήρα, προβαλλόμεθα σήμερον.

Δόξα καί νῦν. Θεοτοκίον ὅμοιον.

Τήν ἁγίαν καί σεπτήν, ὑψόθεν Σκέπην σου Ἁγνή, ἐφαπλοῦσα νοερῶς, ἀεί σκεπάζεις τόν λαόν, τόν Θεοτόκον δοξάζοντά σε Παρθένε. Ἥν ἐν Βλαχερνῶν ἐθεάσαντο, πάλαι τῷ ναῷ ἐξαστράπτουσαν, ὁ εὐκλεής Ἀνδρέας καί ὁ τουτῳ, μαθητευθείς Ἐπιφάνιος, βοῶντες· Χαῖρε εὐλογημένη, Θεομήτορ Μαρία.

Μετά τήν β΄ στιχολογίαν, κάθισμα.

Ἦχος α΄. Τόν τάφον σου σωτήρ.

Θελήματι Θεοῦ πειθαρχῶν ἑκουσίως, σταδίῳ ἀρετῶν παρετάξω γενναίως, Ἀνδρέα ἀξιάγαστε, καί μωραῖς προσποιήσεσι, κατεπάτησας τόν σοφιστήν τῆς κακίας, τήν ταπείνωσιν χειρί κατέχων ὡς ξίφος, δαιμόνων εἰς ὄλεθρον.

Δόξα καί νῦν. Θεοτοκίον ὅμοιον.

Τήν μόνην καθαράν καί ἀκήρατον κόρην, τόν Λόγον τοῦ Πατρός δεξαμένην ἀφράστως, γαστρί αὐτῆς καί τέξασαν, τόν Θεάνθρωπον Κύριον, μακαρίσωμεν αἱ γενεαί τῶν ἀνθρώπων, ἐξαιτούμενοι τόν ἱλασμόν ὧν ἐν βίῳ, ἀφρόνως ἡμάρτομεν.

Μετά τό Πολυέλεον, κάθισμα.
Ἦχος γ΄. Τήν ὡραιότητα.

Δεῦτε δοξάσωμεν ἐνθέοις ᾄσμασι, τόν γενναιότατον Χριστοῦ θεράποντα, καί ἱερόν ἀγωνιστήν, Ἀνδρέαν τόν Θεοφόρον. Οὗτος γάρ σαλότητι, ξενιτείᾳ, γυμνότητι, θλίψει, ἐγκρατείᾳ τε, ταπεινώσει, πραότητι, ἐχθροῦ τάς μεθοδείας συντρίψας, θρόνῳ παρίσταται Τριάδος.

Δόξα καί νῦν. Θεοτοκίον ὅμοιον.

Τό ὑπερθαύμαστον Χριστοῦ παλάτιον, βάτον τήν ἄφλεκτον, ὄρος ἀλάξευτον, τήν πλατυτέραν οὐρανῶν, ὑ-

μνήσωμεν Θεοτόκον· λύσιν ἐξαιτούμενοι τῶν δεινῶν περιστάσεων, ἄνεσιν ἐν θλίψεσι, καί πταισμάτων συγχώρησιν. Πρεσβεύει γάρ Κυρίῳ ποθοῦσα, πάντων βροτῶν τήν σωτηρίαν.

Οἱ ἀναβαθμοί, τό α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου. Προκείμενον.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

στίχ. Ἐγώ τούς ἐμέ φιλοῦντας ἀγαπῶ, οἱ δέ ἐμέ ζητοῦντες εὑρήσουσι χάριν.

Τό Πᾶσα Πνοή. Ἑωθινόν Εὐαγγέλιον (τό ἑωθινόν τοῦ ἁγίου Σάββα – ε' Δεκεμβρίου), καί ὁ Ν΄ ψαλμός.

Δόξα. Ταῖς τοῦ σοῦ ὁσίου...

Καί νῦν. Ταῖς τῆς Θεοτόκου...

Εἶτα δέ τό ἰδιόμελον. Ἦχος πλ. β΄.

Ὡς ῥόδον πανεύοσμον ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν παραδόξως ἐξήνθησας, Πάτερ Ἀνδρέα θεσπέσιε, καί θείας εὐωδίας τόν κόσμον ἐπλήρωσας, σπορέα καί φυτουργόν ἔχων τῆς Δόξης τόν Κύριον. Διό καί σήμερον, ἐν τῇ σῇ γενεθλίῳ ἡμέρᾳ, ὀρθοδόξων οἱ δῆμοι ἀγάλλονται, καί πόθῳ σοί κράζουσι· Λύτρωσαι ἡμᾶς ὅσιε τῆς ἀκαθάρτου τῶν παθῶν δυσωδίας καί τάς καρδίας ἡμῶν κάθαρον, ταῖς πρός Χριστόν ἱκεσίαις σου.

Οἱ κανόνες. Ὁ μέν πρῶτος τῆς Θεοτόκου μετά τῶν εἱρμῶν εἰς στ΄, ὁ δέ δεύτερος τοῦ ὁσίου εἰς η΄.

Κανών τῆς Θεοτόκου, ποίημα τοῦ ἁγίου Μάρκου Ἐφέσου τοῦ Εὐγενικοῦ.

Ὠδή α΄. Ἦχος πλ. α΄. Ὁ Εἱρμός·

>> Ἵππον καί ἀναβάτην, εἰς θάλασσαν Ερυθράν, ὁ συντρίβων πο-
>> λέμους, ἐν ὑψηλῷ βραχίονι, Χριστός
>> ἐξετίναξεν, Ἰσραήλ δέ ἔσωσεν, ἐπινί-
>> κιον ὕμνον ᾄδοντα.

Γόνυ σοι κάμπτω Δέσποινα ὁ ταλαίπωρος, καί τήν σήν νῦν αἰτοῦμαι θείαν ἀντίληψιν, λῦσον τήν ὀδύνην τῆς ψυχῆς, σκέδασόν μου τά νέφη, τῆς ἀθυμίας μου ταῖς πρεσβείαις σου.

Ῥύπων τῶν ἐκ παθῶν μου τό διαυγές τῆς ψυχῆς, Θεοτόκε Παρθένε τηροῦσα ἀνεπίμικτον, καθαρῶς με ποίησον, φωτί θείῳ ἄχραντε, ἀτενίζειν τόν Σέ δοξάζοντα.

Σύ τάς ἐπαναστάσεις τάς καθ᾿ ἡμῶν τῶν ἐχθρῶν, κραταιᾷ σου δυνάμει τροπωσαμένη Δέσποινα, βαθεῖαν τῇ ποίμνῃ σου, τήν εἰρήνην δώρησαι, ὡς τῆς θείας εἰρήνης πρόξενος.

Ὁ πλάσας κατά μόνας Θεός καρδίας βροτῶν, τάς ὀδύνας γινώσκων καί πάθη τῶν ψυχῶν ἡμῶν, κατάλληλον δέδωκεν, ἰατρεῖον ἄχραντε, σέ ἐν νόσοις ἡμῖν καί θλίψεσι.

Κανών τοῦ ὁσίου, οὗ ἡ ἀκροστιχίς· Τόν σοφόν Ἀνδρέαν ᾄδω ἐν Πνεύματι. Μιχαήλ.

Ὠδή α΄. Ἦχος πλ. δ΄.
Εἱρμός· Ἁρματηλάτην Φαραώ.

Τόν νοητόν τῆς ἀρετῆς ἀδάμαντα, νῦν ἀνυμνῆσαι τολμῶν, φωτιστικήν χάριν, ἐξαιτοῦμαι Δέσποτα· ἥν οὐρανόθεν σήμερον, τῷ οἰκέτῃ σου πέμψον, καί τήν ῥυπῶσαν καρδίαν μου, κάθαρον Χριστέ τῇ δυνάμει Σου.

Ὅλος Θεῷ ἀνατεθείς μακάριε, προσεκολλήθης Χριστῷ, τά ἐν τῇ γῇ πάντα, ἀκορέστῳ ἔρωτι, καταλιπών ὡς σκύβαλα, καί ὑποκρίσει μωρίας, τήν κοσμικήν ματαιότητα, πράξεσιν ἐλέγχων

καί λόγοις σου.

Δόξα.

Ναός ἐδείχθης τοῦ Ἁγίου Πνεύματος, καί χαρισμάτων πληθύν, παρ᾽ Αὐτοῦ ἐδέξω, ὡς δοχεῖον τίμιον, τῆς θεοῤῥύτου χάριτος, ὦ Ἀνδρέα θεόφρον, θεοπρεπῶς δέ ἐξέλαμψας, θείᾳ ἀνακράσει θεούμενος.

Και νῦν. Θεοτοκίον.

Σωματωθέντα ἐξ ἁγνῶν αἱμάτων σου, τόν ποιητήν τοῦ παντός, Παναγία Κόρη, εἰς βροτῶν ἀνάπλασιν, ὁμολογῶ ὁ δοῦλος σου, καί τῇ Σκέπῃ προστρέχω, τῆς ἀκοιμήτου πρεσβείας σου, πάλαι ἥν Ἀνδρέας ἑώρακεν.

Καταβασία. Ἦχος δ΄.

>> Ἀνοίξω τό στόμα μου, καί πληρωθήσεται Πνεύματος, καί λόγον ἐρεύξομαι τῇ βασιλίδι Μητρί· καί ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καί ᾄσω γηθόμενος, ταύτης τά θαύματα.

Τῆς Θεοτόκου. Ὠδή γ΄. Ὁ Εἱρμός·

>> Ὁ πήξας ἐπ᾽ οὐδενός τήν γῆν τῇ προστάξει Σου, καί μετεωρίσας ἀσχέτως βρίθουσαν, ἐπί τήν ἀσάλευτον Χριστέ, πέτραν τῶν ἐντολῶν Σου, τήν Ἐκκλησίαν Σου στερέωσον, μόνε ἀγαθέ καί φιλάνθρωπε.

Ὁ πόκος τοῦ ὑετοῦ τοῦ θείου Πανάχραντε, τήν ἐξηραμένην ψυχήν μου πάθεσι, καί τῇ ἐκπυρώσει τῶν κακῶν, ἄρδευσον Θεοτόκε, τῇ ἐπισκέψει σου ὡς βλύσασα, τῆς ζωῆς τό ὕδωρ Χριστόν τόν Κύριον.

Ὡράθη μετά σαρκός ὁ πρίν ἀθεώρητος, διά σοῦ Παρθένε Λόγος καί Κύριος, ἵνα πρός ἀόρατον ἡμᾶς, καί θείαν μεταστήσῃ, δόξαν καί λῆξιν τήν αἰώνιον, τούς ὡς Θεοτόκον ὑμνοῦντας σε.

Ἰλύος φθοροποιῶν παθῶν ἡμᾶς λύτρωσαι, ταῖς πρός τόν Υἱόν σου Ἁγνή δεήσεσι, δίδου βηματίζειν καθαρῶς τῆς μετανοίας τρίβους, τάς εἰσαγαγούσας Θεονύμφευτε, πρός τήν αἰωνίαν κατάπαυσιν.

Σαρκοῦται ἐκ τῶν σεπτῶν Παρθένε αἱμάτων σου, ὁ δι᾽ εὐσπλαχνίαν βροτός γενόμενος, τοῦτον ἐκδυσώπει ὡς Υἱόν, τῆς ἄνω βασιλείας, καταξιῶσαί με πανάμωμε, τόν εἰλικρινῶς σέ δοξάζοντα.

Τοῦ ὁσίου. Ὠδή γ΄.
Εἱρμός· Οὐρανίας ἀψῖδος.

Ὁ καρδίας ἀνθρώπων, μόνος εἰδώς Κύριος, ἀνεξιχνιάστῳ προγνώσει, σέ ἐξελέξατο, ἐν ἐνυπνίῳ φανείς, καί ὡς σαλός ἐν τῶ βίῳ, δι᾽ Αὐτοῦ ἀγάπησιν ζῆσαι κελεύσας σε.

Φαεινόν σε ἀστέρα, καί διαυγῆ σάπφειρον, τίμιον χρυσίον Ἀνδρέα, ἐπονομάζωμεν, οἱ τήν σεπτήν ἑορτήν, τῆς σεβασμίας σου μνήμης, πόθῳ ἑορτάζοντες, σήμερον ὅσιε.

Δόξα.

Οὐρανῶν αἱ δυνάμεις, πνευματικοῖς χείλεσι, τήν χριστοτερπῆ πολιτείαν, χαίρουσαι ᾄδουσι, τοῦ θεοφόρου πατρός ἡμῶν Ἀνδρέου καί τοῦτον, νοερῶς ἀσπάζονται θείῳ φιλήματι.

Και νῦν. Θεοτοκίον.

Ναῷ Ἄχραντε Κόρη, τῶν Βλαχερνῶν ἔδειξας, τῷ ταπεινοτάτῳ Ἀνδρέᾳ, Ἐπιφανίῳ τε, τήν παναγίαν ἰσχύν, τῆς φιλανθρώπου σου Σκέπης, δι᾽ ἧς σκέπεις Ἄνασσα, κόσμου τά πέρατα.

Καταβασία.

>> Τούς σούς ὑμνολόγους Θεοτόκε, ἡ ζῶσα καί ἄφθονος πηγή, θίασον συγκροτήσαντας, πνευματικόν στε-

>> ρέωσον, καί ἐν τῇ θείᾳ δόξῃ σου, στε-
>> φάνων δόξης ἀξίωσον.

Καί τό μεσώδιον κάθισμα.

Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Παραδείσου ταῖς σκηναῖς, ἐν ἀναπαύσει κατοικῶν, καί ὁσίων τοῖς χοροῖς συνευφραινόμενος ἀεί, μή ἐπιλάθῃ Ἀνδρέα τῶν ἐν ἀνάγκαις, πόνοις καί πικραῖς περιστάσεσι, πρέσβυν πρός Θεόν γινωσκόντων σε, καί ἐν κινδύνοις ῥύστην καί προστάτην, καί συμπαθῆ ἀντιλήπτορα, ἀλλά εὐχαῖς σου, πάσης νῦν βλάβης, ἡμᾶς σῶσον μακάριε.

Δόξα καί νῦν. Θεοτοκίον ὅμοιον.

Ζωοπάροχος πηγή, καί εὐφροσύνης ποταμός, τῶν ἀνθρώπων χαρμονή καί τῶν ἀγγέλων γλυκασμός, ἀπηλπισμένων ἐλπίς τε καί σωτηρία, πέλαγος Ἁγνή παρακλήσεως, ἄβυσσος ἐλέους ὑπάρχουσα, ταῖς μητρικαῖς σου Δέσποινα πρεσβείαις, τῶν τυραννούντων με λύτρωσον, παθῶν καί πάσης τοῦ ἀλλοτρίου, ἐπηρείας Παρθένε.

Τῆς Θεοτόκου. Ὠδή δ΄. Ὁ Εἱρμός·

>> Τήν θείαν ἐννοήσας Σου κένωσιν, ἐξεστηκώς ὁ Ἀββακούμ, Χριστέ
>> ἐν τρόμῳ ἐβόα σοι· Εἰς σωτηρίαν λα-
>> οῦ Σου, τοῦ σῶσαι τούς χριστούς Σου,
>> ἐλήλυθας.

Ὡς κόρην ὀφθαλμοῦ με τῇ σκέπῃ σου, φύλαξον δέομαι Ἁγνή, καί τῇ σκιᾷ τῶν πτερύγων σου, περίθαλψόν με καί ῥῦσαι, δαιμόνων πονηρίας καί σῶσον με.

Πόμα με κατανύξεως πότισον, Θεογεννῆτορ Μαριάμ, καί δάκρυά με ἀξίωσον, ἀπό καρδίας προσφέρειν, σβεστήρια φλογός τῆς μενούσης με.

Ὁ φόβος τυρρανεῖ με τῆς κρίσεως, καί ἡ ἀπόφασις Θεοῦ, πρόφθασον σύ μοί παράστηθι, ἐν τῇ ἡμέρᾳ τῆς δίκης, καί λύτρωσαι Μαρία Θεόνυμφε.

Ὡς πάντων ποιημάτων κυήσασα, Δημιουργόν Μῆτερ Θεοῦ, ἰσχύεις πάντα καί δύνασαι, διό κολάσεως ῥῦσαι, καί πάσης ἐπηρείας τούς δούλους σου.

Τοῦ ὁσίου. Ὠδή δ΄.
Εἱρμός· Σύ μου ισχύς Κύριε.

Ἀπροσπαθῶς ὅσιε, ζήσας τόν βίον σου, τῷ Κυρίῳ, πᾶσαν ἐναπέθεσας, τήν ὑλικήν μέριμναν διό, πάθους ἐλυτρώσω, φιλαργυρίας θεσπέσιε, τόν πλάνῃ διαβόλου, μοναχόν πλανηθέντα, τά δεσμά διαλύσας τοῦ δαίμονος.

Νῆστις, πτωχός, ἄτιμος, ξένος, ἀνέστιος, γυμνητεύων, γέγονας ἐπ᾽ ὤμων σου, τοῦ Ἰησοῦ αἴρων τόν χρηστόν, ζυγόν καί φορτίον, τό ἐλαφρόν περιθέμενος, πραότητι καρδίας, ἱλαρᾷ τε διαθέσει, τοῖς Ἐκείνου ἑπόμενος ἴχνεσι.

Δόξα.

Δεῦτε λαμπρόν σήμερον στέφανον πλέξαντες, τήν Ἀνδρέου, ἄνθεσι κοσμήσωμεν, χρεωστικῶς πάντες κεφαλήν, στόμασιν ὑμνοῦντες, ψυχῇ, καρδίᾳ καί χείλεσι, τόν γνήσιον οἰκέτην, καί πιστότατον δοῦλον, τόν ἀξίως Χριστόν θεραπεύσαντα.

Και νῦν. Θεοτοκίον.

Ῥείθροις Ἁγνή ἔμπλησον, θείου ἐλέους σου, τούς τῇ Σκέπῃ, πάντοτε προστρέχοντας, ἐν συμφοραῖς, Δέσποινα τῇ σῇ. Σκέπε δέ ἐκ πάσης, τόν σόν λαόν περιστάσεως, καί γάρ ἄλλην βεβαίαν, προστασίαν καί Σκέπην, καί ἐλπίδα Παρθένε οὐκ ἔχομεν.

Καταβασία.

>> Τήν ἀνεξιχνίαστον θείαν βουλήν, τῆς ἐκ τῆς Παρθένου σαρκώσεως,
>> Σοῦ τοῦ Ὑψίστου, ὁ προφήτης Ἀββα-
>> κούμ, κατανοῶν ἐκραύγαζε· Δόξα τῇ
>> δυνάμει Σου Κύριε.

Τῆς Θεοτόκου. Ὠδή ε΄. Ὁ Εἱρμός·

>> Ὁ ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον, πρός σέ ὀρθρίζω καί σοί
>> κραυγάζω· τήν ψυχήν μου φώτισον,
>> τήν ἐσκοτισμένην, Χριστέ ὡς μόνος
>> εὔσπλαγχνος.

Ρυπωθεῖσαν πάθεσι ψυχήν μου Πάναγνε, καί τήν καρδίαν τῇ ρυπτικῇ σου, εὐσπλαγχνίᾳ κάθαρον, καί ναόν τοῦ θείου, Πνεύματος ἀποτέλεσον.

Γέγονεν ὁ τόκος σου Θεοχαρίτωτε, τοῖς καταδίκοις δικαιοσύνη, τοῖς νοσοῦσιν ἴαμα, καί τοῖς θλιβομένοις, χαρά καί ἀγαλλίασις.

Τόν αὐτοκατάκριτον καί ἀδιόρθωτον, Χριστέ μου σῶσον ταῖς τῆς Μητρός σου, ἱκεσίαις ἵνα σου, τήν πολλήν δοξάζω, καί ἄμετρον συμπάθειαν.

Νέφη διασκέδασον Ἁγνή τῶν θλίψεων, ἐκ τῆς ψυχῆς μου καί τῆς χαρᾶς με, ταῖς ἀκτίσι φαίδρυνον, ἡ τό φῶς τεκοῦσα, τό θεῖον καί ἀνέσπερον.

Τοῦ ὁσίου. Ὠδή ε΄.
Εἱρμός· Ἵνα τί μέ ἀπώσω.

Ἐκκαθάρας τό ὄμμα, τῆς ψυχῆς τά κρύφια πάτερ σαφέστατα, καρδιῶν ἐλέγχεις, ὁ αὐτός μηδαμῶς ἐλεγχόμενος, διό Ἐπιφανίῳ, τήν φοβεράν καί θείαν δίκην, Ἰωάννου προεῖπας καί ἔδειξας.

Ἀγομένου πλουσίου, τεθνεῶτος ὅσιε ἐπί τῷ μνήματι, καί δοξαζομένου, τοῖς ἀνθρώπων τέ θρήνοις καί ρήμασι, σύ τοῦ θρασυτάτου, καί ῥυπαροῦ δαιμόνων δήμου, τήν κακίστην εἶδες πανήγυριν.

Δόξα.

Νικητής ἀνεδείχθης, τοῦ Σατάν συντρίψας πάτερ τήν δύναμιν, ὀχετοῖς δακρύων, καί μυρίοις ἱδρῶσι καί αἵμασι, ὅθεν ἐξουσίᾳ, τάς μηχανάς τοῦ ἀλλοτρίου, διαλύειν τήν χάριν ἀπείληφας.

Και νῦν. Θεοτοκίον.

Ἀπογνώσει Παρθένε, θλίψεσι καί πόνοις ὅλος συνέχομαι, καί παραμυθίαν, πλήν σου ἄλλην οὐκ ἔχω Παντάνασσα, ὅθεν Σοί προσπίπτω, συντετριμμένος τοῖς κακοῖς μου, σκέπασόν με τῇ Σκέπῃ σου Δέσποινα.

Καταβασία.

>> Ἐξέστη τά σύμπαντα ἐπί τῇ θείᾳ δόξῃ σου· σύ γάρ ἀπειρόγαμε
>> Παρθένε, ἔσχες ἐν μήτρᾳ τόν ἐπί πάν-
>> των Θεόν, καί τέτοκας ἄχρονον Υἱόν,
>> πᾶσι τοῖς ὑμνοῦσι σε, σωτηρίαν βρα-
>> βεύοντα.

Τῆς Θεοτόκου. Ὠδή στ΄. Ὁ Εἱρμός·

>> Μαινομένην κλύδωνι, ψυχοφθόρῳ Δέσποτα Χριστέ, τῶν πα-
>> θῶν τήν θάλασσαν κατεύνασον, καί
>> ἐκ φθορᾶς, ἀνάγαγέ με ὡς εὔσπλαγ-
>> χνος.

Ἐκ χοός ὁ πλάσας με, κατ᾽ εἰκόνα Δεσποτα τήν σήν, καί υἱοθεσίας Σου Φιλάνθρωπε, ἀξιώσας, συντήρησόν με ὡς εὔσπλαγχνος.

Τοῖς ἀμέτροις πταίσμασι, καταλλήλως βέβλημαι Ἁγνή, τῶν κακούντων θλίψεων παράσχου μοι, τόν ἱλασμόν, καί λυπηρῶν ἀπολύτρωσιν.

Σαῖς πρεσβείαις πλήρωσον, τούς σούς δούλους δόξης θεϊκῆς, καί Φωτός ἀρρήτου καταξίωσον, σούς ὑμνητάς, Θεοχαρίτωτε Δέσποινα.

Καταδίκης ρῦσαί με, αἰωνίου Δέσποινα Ἁγνή, καί χαρᾶς τῆς θείας καταξίωσον, καί τῆς τρυφῆς, τοῦ Παραδείσου πρεσβείαις σου.

Τοῦ ὁσίου. Ὠδή στ΄.
Εἱρμός· Τήν δέησιν ἐκχεῶ.

Διδάσκαλον, τῶν πιστῶν καί στήριγμα, ἐν κινδύνοις σέ ἐπίσταμαι πάτερ, καί ἀπλανῆ, ὁδηγόν τῶν ἐν σκότει, καί ἀληθοῦς εὐσεβείας ὑπέρμαχον, ὁπλίτην τε πνευματικόν, ἐν ταῖς μάχαις λαμπρῶς ἀριστεύσαντα.

Ὢ θαύματος, παραδόξου σήμερον, ὢ καινοῦ καί ἀγαθοῦ μυστηρίου! Ὁ γάρ Ἀνδρέας τελέσας τόν δρόμον, θεοπρεπῶς οὐρανοῖς ἀνελύληθε, καί δέχεται παρά Χριστοῦ, εἰς ἀντίδοσιν δόξης τόν στέφανον.

Δόξα.

Ἐπόθησας, τήν ἁγνείαν ὅσιε, καί παθῶν τῆς σαρκικῆς τυραννίδος, τήν ἐμπαθῆ ἡδονήν ἐβδελύξω, ὡς Ἰωσήφ ἐν Αἰγύπτῳ ὁ Πάγκαλος, οὐδόλως μάκαρ μιανθείς, τῶν ἀσέμνων γυναίων προκλήσεσι.

Και νῦν. Θεοτοκίον.

Ναῷ ποτέ, Βλαχερνῶν ὑπέδειξας, Θεοτόκε τήν ὁλόφωτον Σκέπην, τῆς συμπαθοῦς προστασίας σου Κόρη, τῆς ἀενάως σκεπούσης τούς δούλους σου. Ἀτρώτους οὖν πάντας ἡμᾶς, ἐν τῇ Σκέπῃ σου τήρησον Δέσποινα.

Καταβασία.

\>> Τήν θείαν ταύτην καί πάντιμον, τελοῦντες ἑορτήν οἱ θεόφρονες,
\>> τῆς Θεομήτορος, δεῦτε τάς χεῖρας κρο-
\>> τήσωμεν, τόν ἐξ αὐτῆς τεχθέντα, Θε-
\>> όν δοξάζοντες.

Κοντάκιον τοῦ ὁσίου.
Ἦχος πλ. δ΄. Τό προσταχθέν.

Τῆς ἀληθοῦς εὐσεβείας τόν ὑπέρμαχον, καί τῆς Σοφίας τοῦ Θεοῦ τό καταγώγιον, εὐφημήσωμεν δεῦτε σήμερον Ἀνδρέαν· σαλότητος ὑποκρίσει γάρ θεϊκῆς, τοῦ κόσμου πλάνον ἐλέγχει τήν βιοτήν, καί ἐμπαίζει τό ἄστατον, τοῦ ἐνεστῶτος καιροῦ. Αὐτῷ οὖν ἐκβοήσωμεν· χαίροις Πάτερ μακάριε.

Ὁ Οἶκος.

Ἄνωθεν κεκλημένος, Θεοφόρε Ἀνδρέα, πανσόφῳ τοῦ Δεσπότου προγνώσει, σαλός ἐν τῷ κόσμῳ ὑπάρχεις, καί σοφός ὀφθαλμοῖς τοῦ Θεοῦ ἡμῶν ὅσιε· διό καί πόθῳ σήμερον, πάντες σοι βοῶμεν ταῦτα·

χαίροις τῆς ἐνθέου Σοφίας δοχεῖον,
χαίροις τῶν Θεοῦ χαρισμάτων ταμεῖον,

χαίροις Ὀρθοδόξων τό μέγιστον κλέος,
χαίροις ὁ Χριστοῦ στρατιώτης γενναίος,

χαίροις ἀσωμάτου ζωῆς ὁ ἐραστής,
χαίροις ὁ δαιμόνων ἐν μάχαις νικητής,

χαίροις τῶν ὁσίων πατέρων ἀκρότης,
χαίροις μυστηρίων Θεοῦ ὁ ἐπόπτης,

χαίροις ὁ πηγάζων νέκταρ τοῖς πιστοῖς,
χαίροις ὁ παρέχων χάριν τοῖς βροτοῖς,

χαίροις πτωχῶν τε σαλῶν ὁ ὑπέρμαχος,
χαίροις βιοτῆς ματαίας ὁ ἔλεγχος,

Χαίροις Πάτερ μακάριε,

Σ υ ν α ξ ά ρ ι ο ν.

Τῇ ΚΘ΄ τοῦ αὐτοῦ μηνός, ἡ σύναξις τοῦ ἐν Ἁγίοις Πατρός ἡμῶν Ἀνδρέου τοῦ διά Χριστόν Σαλοῦ.

Στίχοι·

Σοφός Ἀνδρέας, ἀνθρωπίνης σοφίας,
Κλέος ἔφυγεν, Θεῷ εὐαρεστήσας.

Ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Ἀνδρέας διήνυσε τὸν βίον ἐν τῇ βασιλίδι τῶν πόλεων ἐν τοῖς χρόνοις τοῦ φιλοχρίστου αὐτοκράτορος Λεόντος. Ἦν δὲ Σκύθης τῷ γένει καὶ δοῦλος, δουλεύων παρά τινι εὐσεβεῖ καί ἐναρέτῳ πρωτοσπαθαρίῳ ᾧ ὄνομα Θεόγνωστος· ὃς ὁρῶν τὴν Ἀνδρέου ὀξύνοιαν καὶ ἀρετὴν ἄγαν ἐτίμα αὐτόν, ὥστε ἐπιμεληθεὶς τὰ τῆς παιδείας αὐτοῦ ἤγαγεν ἐν διδασκαλείῳ ἔνθα τὰ ἱερὰ γράμματα ἔμαθεν. Ὁ ὅσιος ἠγάπα μελετᾷν τὰς γραφὰς καὶ τὰ τῶν μαρτύρων παλαίσματα πρός δε καὶ τῶν ἐν ἀσκήσει λαμψάντων ὁσίων ἡμῶν πατέρων τὸν βίον. Νυκτός τινος ἀγρυπνοῦντος αὐτοῦ, ὡς εἰώθει, ὁ πολυμήχανος διάβολος μὴ φέρων ὁρᾶν τὸν ἔνθεον αὐτοῦ ζῆλον ἤρξατο κρούειν σφοδρῶς τὰς τῆς οἰκίας θύρας· ὁ δὲ ὅσιος τρομῶν ἔδραμε ἐπὶ τὴν ἰδίαν αὐτοῦ κλίνην καὶ βαθέως ὑπνώσας εἶδε κατ' ὄναρ δύο παρεμβολὰς ἔν τινι θεάτρῳ πρὸς ἀλλήλας μαχομένας· ἐκεῖ μὲν πολλοὺς ἄνδρας σεβασμίους λευχειμονοῦντας ἐκεῖ δὲ Αἰθίοπας μελάγχρους. Ὤφθη δὲ αὐτῷ νεανίας τις πάνυ ὡραῖος τῷ κάλλει φέρων ἐν τῇ χειρὶ αὐτοῦ τρεῖς πολυτίμους στεφάνους· τούτῳ προσελθὼν ὁ ὅσιος ἤρετο πῶς ἂν τις δύναιτο τοὺς πολυτίμους ἐκείνους στεφάνους κτήσασθαι· ὁ δέ ἔφη τοὺς στεφάνους εἶναι τῶν τοὺς μελάγχρους Αἰθίοπας νικώντων, προέτρεψέ τε αὐτόν πολεμήσειν ἐκείνους λέγων· ἀπό τοῦδε ἔσει φίλος καὶ ἀδελφός μου, γυμνὸς ἀγωνίζου τὸν καλὸν ἀγῶνα, γενοῦ δι' ἐμὲ σαλός κἀγὼ δωρήσομαί σοι πολλὰ ἀγαθὰ ἐν τῇ βασιλείᾳ μου.

Ἔξυπνος δὲ γενόμενος ὁ ὅσιος ἔγνω τὸν Θεόν καλοῦντα αὐτὸν ἐν τῷ ἐνυπνίῳ ὑποκριθῆναι τὸν σαλόν. Τὴν δὲ ἐπιοῦσαν νύκτα ἐπορεύθη πρὸς τὸ κείμενον παρὰ τὸ δῶμα τοῦ κυρίου αὐτοῦ φρέαρ ἔνθα ἤρξατο κραυγάζειν καὶ ἀκαταλήπτους λαλεῖν λόγους διαρρηγνύων ἅμα τὰ ἱμάτια αὐτοῦ. Οἱ δὲ τοῦ οἴκου ὑπηρέται ἐκεῖσε δραμόντες καὶ ἐν τοιούτῳ καταστήματι εὑρόντες τὸν ὅσιον ἀνήγγειλαν τῷ κυρίῳ αὐτῶν τὰ γενόμενα. Ἐλυπήθη μὲν σφόδρα ὁ κύριος αὐτοῦ ἐπὶ τὸ γεγενημένον ἠναγκάσθη δὲ ἐκ τῶν πραγμάτων ὡς σαλὸν καταγράψαι τὸν ὅσιον ἀπολῦσαί τε τοῦτον τῶν τῆς δουλείας δεσμῶν. Μετὰ ταῦτα ὁ μακάριος Ἀνδρέας ἤρξατο περιφερόμενος ἀνὰ τὰς ῥύμας τῆς βασιλευούσης ἐν ὑποκρίσει διάγων σαλότητος. Ἀγογγύστως δὲ ὑπομένων τὴν ἐσχάτην πτωχείαν φέρων τε γενναίως τῶν πονηρῶν ἀνθρώπων τοὺς ποικίλους ὀνειδισμούς –συχνάκις γὰρ λίαν σκληρῶς πρὸς αὐτὸν οἱ τοιοῦτοι ὑπῆρχον διακείμενοι– καὶ διάγων ἐν κόσμῳ βίον κατὰ πάντα ἀσκητικὸν καὶ ἰσάγγελον ταχέως κατέλαβε τὸ τῆς χριστομιμήτου ταπεινώσεως περίοπτον ὕψος τῆς ἡγιασμένης αὐτοῦ ψυχῆς κοσμηθείσης διὰ τῶν ὑπερφυῶν τοῦ Παναγίου Πνεύματος χαρισμάτων. Ὅσον μὲν ὁ ὅσιος πρὸς τὸ ἀκρότατον ἀνήει τῆς τελειότητος ὕψος τόσον δὲ ἐπεμελεῖτο κρύπτειν τὴν πνευματικὴν αὐτοῦ πολιτείαν ὑπὸ τὰς σοφὰς μηχανὰς τῆς σαλότητος κατεργάζεσθαί τε ἅμα δι' αὐτῶν τὴν τῶν ἁμαρτωλῶν καὶ ἐμπαθῶν ἀνθρώπων διόρθωσιν.

Ἐπειδὴ δὲ κατὰ τὸν ἀψευδῆ τοῦ Κυρίου λόγον· οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη· οὐδὲ καίουσι λύχνον καὶ τιθέασιν αὐτὸν ὑπὸ τὸν μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ (Ματθ. Ε', 14-15) ὁ φιλάνθρωπος Θεὸς θαυμαστῶς ᾠκονόμησε τὴν φανέρωσιν τῆς ξενοτρόπου πολιτείας τοῦ δούλου αὐτοῦ εἰς ὠφέλειαν ἡμῶν καὶ ἔλεγχον, ὥστε τοὺς μὲν ἁμαρτωλοὺς εἰς μετάνοιαν τοὺς δὲ τοῖς τύποις λατρεύοντας εἰς ἐπίγνωσιν τῆς ἀληθοῦς εὐσεβείας ἐλθεῖν. Περιφερόμενος ποτὲ ἐν τῇ Βασιλευούσῃ ὁ ὅσιος ὑπήντησε τρεῖς ἐναρέτους νεανίας, ὧν ὁ πρεσβύτερος προσῆλθεν αὐτῷ θεόθεν φωτισθεὶς καὶ ἐννοήσας τῆς τοῦ ὁσίου ἁγιότητος τὸ μυστήριον,. Ὁ δὲ ὅσιος ἐξέφηνε τῷ νεανίᾳ τὸ ὄνομα αὐτοῦ λέγων· σύ εἶ ὁ Ἐπιφάνιος, ἀπὸ τοῦ νῦν ἔσει μου φίλος καὶ τέκνον πνευματικόν· προεῖπε δὲ αὐτῷ ὅτι ἔσοιτο ποτὲ ἐπίσκοπος ἐν τῇ Βασιλευούσῃ καὶ πολλῶν λογικῶν προβάτων ποιμήν. Ἄχρι δὲ τῆς κοιμήσεως αὐτοῦ ὁ ὅσιος ἔμελλε ἀποκαλύπτειν μόνῳ τῷ πιστῷ αὐτοῦ μαθητῇ Ἐπιφανίῳ τὰς παρὰ Θεοῦ δωρουμένας αὐτῷ θεωρίας ὁδηγεῖν τε αὐτὸν ἀπλανῶς εἰς ὁδὸν τελειότητος.

Παννυχίδος ποτὲ γενομένης ἐν τῷ τῆς Ἁγίας Σοροῦ παρεκλησίῳ τῷ κειμένῳ παρὰ τῷ ναῷ τῆς Θεοτόκου τῆς ἐπικαλουμένης τῶν Βλαχερνῶν παρῆσαν ὁ μακάριος Ἀνδρέας καὶ ὁ ἱερὸς Ἐπιφάνιος. Ὀψὲ τῆς νυκτός τῆς παννυχίδος ἤδη προϊούσης ὅ τε ὅσιος καὶ ὁ Ἐπιφάνιος εἶδον τὴν Θεομήτορα ἐνδόξως εἰσερχομένην ἐν τῷ ναῷ καὶ δορυφορουμένην ὑπὸ πλήθους λευχειμόνων ἁγίων ἐν οἷς ὁ Τίμιος Πρόδρομος καὶ Ἰωάννης ὁ Θεολόγος. Ἡ δὲ Θεομήτωρ διὰ τῶν βασιλικῶν πυλῶν εἰσελθοῦσα προέβη ἐπὶ τὸ θυσιαστήριον, ἔνθα γονυπετήσασα πολὺν διῆλθε χρόνον δακρυρροοῦσα καὶ δεομένη τοῦ μονογενοῦς Υἱοῦ αὐτῆς καὶ Θεοῦ ὑπὲρ σωτηρίας τοῦ κόσμου. Μετὰ δὲ ταῦτα τὸ στίλβον μαφόριον ἐκ τῆς ἀχράντου κεφαλῆς ἐκδυσαμένη διὰ τῶν πανάγνων αὐτῆς χειρῶν ὕπερθεν ἐφήπλωσε τοῦ χριστωνύμου λαοῦ ἐκτυποῦσα οὕτω τὴν προστασίαν καὶ σκέπην, ἣν τῇ μεσιτείᾳ αὐτῆς παρέχει τῇ Βασιλευούσῃ καὶ τῷ τῆς πόλεως λαῷ. Ἐστώσης μὲν τῆς Θεομήτορος ἐν τῷ ναῷ ἡ ἱερὰ ἐσθὴς διετέλει χάριν τοῖς πιστοῖς ἀναδύουσα ἀναλαμβανομένης δὲ εἰς οὐρανοὺς ἤρξατο καὶ ἡ θεία αὐτῆς Σκέπη συστελλομένη, ἕως οὗ ὅλως ἐξέλιπε. Τὴν τοιαύτην ὀπτασίαν ἠξιώθη ἰδεῖν ὁ θεῖος Ἐπιφάνιος τῇ τοῦ ὁσίου μεσιτείᾳ, εἰς ἀνάμνησιν δὲ αὐτῆς ἐθεσπίσθη ὕστερον ἡ τῆς Ἁγίας Σκέπης ἑορτή.

Ὁ δὲ μακάριος Ἀνδρέας πληρώσας τὸ στάδιον τῶν ἀγώνων προέγνω ὑπερφυῶς τὴν ἰδίαν αὐτοῦ κοίμησιν. Συμβουλεύσας δὲ τὸ τελευταῖον τὸν ἱερόν Ἐπιφάνιον καὶ προφητικῶς προειπὼν τὰ περὶ τοῦ βίου αὐτοῦ ηὐλόγησεν αὐτὸν καὶ ἠσπάσατο τὸ ἔσχατον· εἶτα πορευθεὶς εἰς τὸ τοῦ ἱπποδρόμου θέατρον εὐχὴν ἐποιεῖτο ὑπὲρ τῶν ἐν θλίψεσι καὶ ἀνάγκαις· χαμαί δὲ κατακλιθεὶς ὁρῶν τε ἀγαλλομένῳ προσώπῳ ἀγγέλους τὴν ἁγίαν αὐτοῦ ψυχὴν ἐλθόντας ἀναλαβεῖν παρέδωκε τὸ πνεῦμα εἰς χεῖρας Θεοῦ. Τοῦ ὁσίου δὲ

κοιμηθέντος ἄρρητος εὐωδία ἐξεχύθη ἐν τῷ ρυπαρῷ ἐκείνῳ τόπῳ, ἅτε ἀφθόνου μύρου ἀναβλύσαντος ἐκ τοῦ ἁγίου αὐτοῦ λειψάνου. Γυνὴ δέ τις πτωχὴ ἐν καλύβῃ οἰκοῦσα ἐγγύς τοῦ τόπου ἐκείνου τὴν τοῦ μύρου ὀσμήν ὀσφρανθεῖσα ἔδραμεν ἔνθα ἔκειτο ὁ ὅσιος καὶ τὸ ἅγιον αὐτοῦ λείψανον θεασαμένη ἔδραμεν ἔκθαμβος ἀναγγεῖλαι τοῖς πέλας τὸ θαῦμα. Πολλοὶ μὲν ἔδραμον ἐκεῖσε, οὐχ εὗρον δὲ τὸν ὅσιον τοῦ ἁγίου αὐτοῦ λειψάνου μετατεθέντος ὑπὸ Θεοῦ. Εἶδον δὲ ἅπαντες ὑπερφυὲς φῶς ἐν τῷ τόπῳ ὠσφράνθησάν τε τὴν ἄρρητον εὐωδίαν τοῦ ουρανίου μύρου. Τὴν μακαρίαν τοῦ ὁσίου ψυχὴν ἐθεάσατο καὶ ὁ ἱερός Ἐπιφάνιος εἰς οὐρανοὺς ὁλόφωτον ἀναβαίνουσαν καὶ ὑπὸ ἁγίων ἀγγέλων δορυφορουμένην.

Ὁ μακάριος Ἀνδρέας ἓξ καὶ ἑξήκοντα ἐτῶν γενόμενος ἐτελειώθη τῇ κη΄ τοῦ μηνός Μαΐου καὶ νῦν παρεστὼς τῷ θρόνῳ τῆς Ὑπερθέου Τριάδος ἀπαύστως πρεσβεύει ὑπὲρ πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν. Ἀμήν.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς Ἁγίας Ὁσιομάρτυρος Ἀναστασίας τῆς Ρωμαίας.

Στίχοι·

Κάρας τομήν ἤνεγκε, ρώμῃ καρδίας,
Βλάστημα Ρώμης, Μάρτυς Ἀναστασία.

Αὕτη ὑπῆρχεν ἐπί Δεκίου καί Οὐαλλεριανοῦ τῶν βασιλέων, και Πρόβου ἡγεμόνος, Ῥωμαία τῷ γένει, νέαν ἄγουσαν την ἡλικίαν, καί ἔν τινι Μοναστηρίῳ διατρίβουσα. Αὕτη, παῤῥησίᾳ τόν Χριστόν ὁμολογήσασα, ῥαπίζεται τό πρόσωπον· καί ἐπ᾽ ἀνθράκων πυρός ἁπλωθεῖσα, ῥάβδοις μαστίζεται· καί ἐπί ξύλου κρεμασθεῖσα, μαγκάνοις τισί πιέζεται, καί ὀγκίνοις ὀξέσι καταπείρεται· καί κρεμασθεῖσα καθ᾽ ὅλου τοῦ σώματος ξέεται, καί τούς μαστούς ἐκτέμνεται, καί τούς ὄνυχας ἐκριζοῦται· τάς χεῖρας καί τούς πόδας ἀκρωτηριάζεται καί τήν γλῶτταν ἀφαιρεῖται, καί τούς ὀδὸντας ἐκριζοῦται, καί τελευταῖον τήν κεφαλήν ἀποτέμνεται.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ὁσίου Πατρός ἡμῶν Ἀβραμίου, καί Μαρίας τῆς ἀνεψιᾶς αὐτοῦ.

Στίχοι·

Σαρκός νεκρώσας, Ἀβράμιε πᾶν μέλος,
Θανὼν συνοικεῖς ἀσάρκοις ἀγγέλοις.

Ἀφεῖσα σαρκός, τούς ἐραστάς Μαρία,
Ψυχῶν ἐραστῇ, μυστικῶς περιπλέκῃ.

Οὗτος ἐγένετο παῖς χριστιανῶν γονέων· γυναῖκα δέ γήμας ἀβουλήτως, διά τόν πρός Κύριον πόθον καταλιπών πάντα, καί ἀναχωρήσας, ἑαυτόν καθεῖρξεν ἔν τινι οἰκίσκῳ, πᾶσαν σκληραγωγίαν μετερχόμενος· καί μετά χρόνους δέκα χειροτονεῖται πρεσβύτερος. Τελευτήσαντος δέ τοῦ κατά σάρκα ἀδελφοῦ αὐτοῦ, καί παιδίον θῆλη καταλείψαντος ὡσεί χρόνων ἐννέα, τοῦτο ἀνελάβετο καί πλησίον τοῦ κελλίου αὐτοῦ, ἕτερον κελλίον ποιήσας, ἔθετο. Ἐν δέ τῷ εἰκοστῷ χρόνῳ τῆς ἡλικίας αὐτῆς, ἐπεί συνέβη αὐτήν περιπεσεῖν πτώματι, καί ἐν πανδοχεῖῳ μετά τῶν ἑταιριζομένων γενέσθαι γυναικῶν, στρατιώτου σχήματι ὁ Ἅγιος ὑποδύς, καί ἐπιβάς ἵππῳ τοῦ πτώματος αὐτήν ἐξήρπασε, καί πρός τόν ἴδιον ἀποκατέστησε τόπον. Ἥτις τοσαύτην μετάνοιαν ἐπεδείξατο, ὡς μετ᾽ ὀλίγων χρόνων μεγάλα θαύματα ἐκτελεῖν. Ἀνεπαύσατο δέ ὁ μακάριος Ἀβράμιος κατά τήν εἰκοστήν ἐννάτην τοῦ Ὀκτωβρίου μηνός, καί αὕτη ὡσαύτως μετ᾽ ὀλίγον.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ἁγίου Μάρτυρος Κυρίλλου, καί Μίνη καί Μιναίου.

Στίχοι·

Ὑπόσχεσιν μέλλοντος, οὖσάν μοι στέφους,
Κύριλλος οἶδα, τήν ἀπειλήν τοῦ ξίφους.
Πίπτει Μιναῖος ἐκ ξίφους, ἰδεῖν φθάσας,
Και τόν Μίνην πεσόντα τοιούτῳ τέλει.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ Ἅγιος Σάββας ὁ στρατηλάτης ἔνθεν κἀκεῖθεν κεντηθεῖς, τελειοῦται.

Στίχοι·

Σάββας κατ᾽ ἄμφω, κλήσεως μέρη Σάββας,
Ὅθεν κατ᾽ ἄμφω νύττεται, λόγχαις μερη.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς Ὁσίας Μητρός ἡμῶν Ἄννης, τῆς μετονομασθείσης Εὐφημιανός.

Στίχοι·

Στολῇ κρυβεῖσαν ἀνδρικῇ σεμνήν Ἄνναν,
Χριστός κατ᾽ αὐτῶν ἀῤῥενεῖ τῶν δαιμόνων.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς Ἁγίας Μάρτυρος Μελιτηνῆς.

Στίχοι·

Μελιτινή ἵστατο γυμνή ἐν κρίσει,
Ὡς ἐν θριάμβῳ, δι' ἀγάπην Κυρίου.

Αὕτη ἡ ἁγία Μάρτυς, διαβληθεῖσα ὡς χριστιανή, καί παραστᾶσα τῷ ἄρχοντι, πρῶτον μέν τύπτεται τάς ὄψεις, καί γυμνοῦται ἅπαν τό σῶμα· καί ὡς θρίαμβος ἵσταται ἐπί πολλάς ὥρας ἀνακρινομένη μέσον τοῦ δικαστηρίου· ἀλλά καί οὕτως ἦν μυκτηρίζουσα τόν τε ἄρχοντα, και πάντα τά σεβάσματα αὐτοῦ. Εἶτα πολλαῖς βασάνοις ἐκδοθεῖσα, καί διατηρηθεῖσα ἀβλαβής, τελευταῖον ξίφει κατετρώθη, καί οὕτω τό πνεῦμα τῷ Κυρίῳ παρέθετο.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου νέου ἱερομάρτυρος Ἀθανασίου τοῦ ἐκ Σπάρτης τῆς Ἀτταλείας καταγομένου, ἐν Μουντανίοις δέ μαρτυρήσαντος ἐν ἔτει 1635.

Στίχοι·

Διά θανάτου ἀθανασίαν λάβε,
Ἀθανάσιε, κῦδος ἱερωμένων.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ νέου ὁσιομάρτυρος Τιμοθέου τοῦ Ἐσφιγμενίτου.

Στίχοι·

Τομήν κεφαλῆς Τιμόθεος ὑπέστη,
Τιμῶν κεφαλήν Χριστόν, ὅν περ ἠγάπα.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Τῆς Θεοτόκου. Ὠδή ζ΄. Ὁ Εἱρμός·

>> Ὁ ὑπερυψούμενος, τῶν πατέρων Κύριος, τήν φλόγα κατέσβεσε,
>> τούς παῖδας ἐδρόσισε, συμφώνως με-
>> λωδοῦντας· Ὁ Θεός εὐλογητός εἶ.

Νεῦσον παρακλήσεσι, νῦν τῶν προστρεχόντων σοι, καί ταύτας προσάγαγε Θεῷ Πανοικτίρμονι· καί πλήρου τάς αἰτήσεις, πολυΰμνητε Μαρία.

Ὕπνον ἀποτίναξον, τόν τῆς ραθυμίας μου, καί φώτισον δέομαι, Σεμνή τάς αἰσθήσεις μου· ἐγρήγορσιν διδοῦσα, καί μετάνοιαν ἀξίαν.

Ἵλεων γενέσθαι μοι, σύ τόν εὐδιάλλακτον, Παρθένε δυσώπησον, καί σῶσαί με ψάλλοντα, ψυχῇ συντετριμένῃ· ὁ Θεός εὐλογητός εἶ.

Χρόνῳ σου τό ἔλεος, οὐ συμπεριγράφεται, ἀεί γάρ Πανάχραντε, οἰκτείρεις τούς δούλους σου· καί νέμεις τοῖς αἰτοῦσι, τήν ἀνέκλειπτόν σου χάριν.

Τοῦ ὁσίου. Ὠδή ζ΄.
Εἱρμός· Παῖδες Ἑβραίων ἐν καμίνῳ.

Πᾶσαν τήν δόξαν τῶν ἀνθρώπων, ὡς ἀντίθεον ἐμίσησας Ἀνδρέα, καί τρυφῆς θεϊκῆς, τυχεῖν κατηξιώθης, παρά Χριστοῦ τρισόλβιε, καί τῆς ἄνωθεν Σοφίας.

Νέμεις πλουσίως τοῖς τιμῶσι, οὐρανόθεν χάριν σήμερον Ἀνδρέα, τήν σήν μνήμην ᾠδαῖς, καί ᾄσμασιν ἐνθέοις, καί ἐκζητοῦσιν ὅσιε, τάς θερμάς σου ἱκεσίας.

Δόξα.

Ἔστης ἀκλόνητος ὡς στύλος, καί ἀνδρείως τῶν ἀσάρκων ἐπιθέσεις, ἀπεκρούσω σοφέ, δυνάμει τοῦ Δεσπότου, κἀμέ οὖν νῦν ἐνίσχυσον, πειρασμοῖς περιπεσόντα.

Καί νῦν. Θεοτοκίον.

Ὕψος ὑπάρχεις Θεοτόκε, δυσθεώρητον ἀγγέλων διανοίαις, καί ὑψόθεν Ἁγνή, σκεπάζεις τόν λαόν σου, ἀπό πάσης κακώσεως, καί ἐχθρῶν ἐξ ὠμοτάτων.

Καταβασία.

>>Οὐκ ἐλάτρευσαν, τήν κτίσιν οἱ θεόφρονες, παρά τόν Κτίσαντα· >> ἀλλά πυρός ἀπειλήν, ἀνδρείως πατή- >> σαντες, χαίροντες ἔψαλλον· Ὑπερύ- >> μνητε, ὁ τῶν Πατέρων Κύριος, καί Θε- >> ός εὐλογητός εἶ.

Τῆς Θεοτόκου. Ὠδή η΄. Ὁ Εἱρμός·

>>Σοί τῷ Παντουργῷ, ἐν τῇ καμίνῳ, >>παῖδες, παγκόσμιον πλέξαντες, >> χορείαν ἔψαλλον· Πάντα τά ἔργα τόν >> Κύριον ὑμνεῖτε, καί ὑπερυψοῦτε εἰς >> πάντας τούς αἰῶνας.

Δόξῃ θεϊκῇ ἡ λαμπρυνθεῖσα μόνη, ὡς Μήτηρ ὑπάρχουσα τοῦ Σέ δοξάσαντος· δόξης τῆς ἄνω τυχεῖν με θείας Κόρη, αἴτησαι τόν μόνον ἀεί δεδοξασμένον.

Ὅλη ἐκλεκτή λελαμπρυσμένη πέλεις, ὅλη μόνη Πάναγνος Σεμνή καί Ἄσπιλος· ὅθεν βοῶ Σοι φιλάγαθε Παρθένε, κάθαρόν με ῥύπου, παντός ταῖς σαῖς πρεσβείαις.

Δίδου ἱλασμόν Θεογεννῆτορ Κόρη, καί βίου διόρθωσιν τοῖς σοί προστρέχουσιν· ὅπως ἀπαύστως ὑμνοῦμεν Σε Παρθένε, καί ὑπερυψῶμεν, εἰς πάντας τούς αἰῶνας.

Ὑπέρ φαεινάς καί τηλαυγεῖς ἀκτῖνας, τοῦ ἡλίου Δέσποινα ἡ προστασία σου· πᾶσιν ἁπλοῦσα ἀκτῖνας τῶν θαυμάτων, λύει τήν ὀμίχλην, παθῶν καί νοσημάτων.

Τοῦ ὁσίου. Ὠδή η΄.
Εἱρμός·Τόν ἐν ὄρει ἁγίῳ.

Μυροβόλον τό σῶμα σου ἐδείχθη, ὡς ἀφθόνως Θεοῦ, τήν χάριν δεδεγμένον, ἐν καιρῷ ἐσχάτῳ τῆς ἐξόδου σου, νεύσει δέ θεαρχίῳ, ὅσιε τῇ χώρᾳ τῶν ζώντων μετετέθη.

Ἀπαθείας λιμένι προσωρμίσθης, τάς ὁρμάς τῶν παθῶν, νοΐ καθυποτάξας· τῶν παθῶν δέ κύμασι ποντούμενον, σῶσον με Ἀνδρέα, ἵνα μεγαλύνω τήν πάνσεπτον σου μνήμην.

στίχ. Εὐλογοῦμεν Πατέρα, Υἱόν, καί Ἅγιον Πνεῦμα τόν Κύριον.

Τῶν ἀγγέλων αἱ τάξεις καί ἀνθρώπων, εὐφημήσωμεν νῦν Ἀνδρέου τούς ἀγῶνας. Τοῦ Χριστοῦ γάρ ἴχνεσιν ἑπόμενος, αἴρει ἑκουσίως, ὡς σταυρόν ἐπ᾽ ὤμων, τοῦ κόσμου τήν κακίαν.

Καί νῦν. Θεοτοκίον.

Ἰσχυρά προστασία τοῦ λαοῦ σου, ἐν δειναῖς συμφοραῖς, ὑπάρχεις Θεομῆτορ, τῇ ἀΰλῳ Σκέπῃ σου φυλάττουσα, Ἄχραντε τούς πίστει, ταύτῃ προσιόντας, φιλάγαθος ὡς οὖσα.

Καταβασία.

Στίχ. Αἰνοῦμεν, εὐλογοῦμεν καί προσκυνοῦμεν τόν Κύριον.

>>Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ >>τόκος τῆς Θεοτόκου διεσώσατο, >>τότε μέν τυπούμενος· νῦν δέ ἐνεργού- >>μενος, τήν οἰκουμένην ἅπασαν, ἀγεί- >> ρει ψάλλουσαν· Τόν Κύριον ὑμνεῖτε >> τά ἔργα, καί ὑπέρυψοῦτε, εἰς πάντας >> τούς αἰῶνας.

Ἡ Τιμιωτέρα. Κανών τῆς Θεοτόκου.
Ὠδή θ΄. Ὁ Εἱρμός·

>>Ἡσαΐα χόρευε, ἡ Παρθένος ἔσχεν >> ἐν γαστρί, καί ἔτεκεν υἱόν τόν >> Ἐμμανουήλ, Θεόν τε καί ἄνθρωπον· >> Ἀνατολή ὄνομα αὐτῷ· ὅν μεγαλύνον- >> τες, τήν Παρθένον μακαρίζωμεν.

Δονουμένους θλίψεσι, καί τῷ πλήθει τῶν ἀνιαρῶν, ἑδραίωσον ἡμᾶς θείᾳ σου ῥοπῇ, Μαρία Θεόνυμφε, ἐν τῇ

στερρᾷ τῆς ὑπομονῆς, καί τῆς ἐλπίδος σου, πέτρᾳ ἵνα σέ δοξάζωμεν.

Ὑπερήρθη Ἄχραντε, τό φορτίον τό τῶν λυπηρῶν, δυνάμεως τῆς ἐμῆς, καί πρός ἀχανές, τό τῆς ἀπογνώσεως, καθέλκει με βάραθρον ἀφοῦ, ῥῦσαι με Δέσποινα, τοῦ ἀπαύστως μεγαλύνειν σε.

Φωτοφόρον ὄχημα, ἀνεδείχθης τοῦ Ἐμμανουήλ, φωτίζουσα τούς πιστούς, Δέσποινα Ἁγνή, διό με καταύγασον, ῥᾳθυμίας σκότει τήν ψυχήν, νῦν καλυπτόμενον, καί τοῖς πταίσμασιν ὀλλύμενον.

Σύ προστάτις πέφυκας, τῆς ψυχῆς μου Πάνσεμνε Ἁγνή, ἐν σοί γάρ τῶν δυσμενῶν, θραύω τήν ἰσχύν, καί σοῦ ἀπηώρησα, τάς αἰσθήσεις πάσας καί τόν νοῦν, σῶσον με σῶσον με, ἵνα πόθῳ μεγαλύνω σε.

Τοῦ ὁσίου. Ὠδή θ´.
Εἱρμός· Ἐξέστη ἐπί τούτῳ.

Μετάνοιαν, νηστείαν καί προσευχήν, ἀγρυπνίαν, μωρίαν, ταπείνωσιν, ὑπομονήν, καί ἀκτημοσύνην διά Χριστόν, πραότητα, ἐγκράτειαν, νῆψιν, ξενητείαν ἐπί τῆς γῆς, εἰργάσω· τοῦ Σωτῆρος, Ἀνδρέα τοῖς πανσόφοις, ὑποτασσόμενος κελεύσμασι.

Ἰδού πάλιν ἐπέστη ἡ φωταυγής, τοῦ ὁσίου Ἀνδρέου πανήγυρις, τούς τῶν πιστῶν, δήμους συγκαλοῦσα πρός ἑορτήν, καί εὐφροσύνης σήμερον, ἡ κτίσις πληροῦται πνευματικῆς· ἐν ταύτῃ τῇ ἐνδόξῳ, χορεύσωμεν ἡμέρᾳ, καί ψαλμικῶς χεῖρας κροτήσωμεν.

Χοροῖς τῶν ἀσωμάτων ἐν οὐρανῷ, καί ὁσίων σκηναῖς αὐλιζόμενος, καί τηλαυγῶς, δόξαν τήν Τρισήλιον καθορῶν, μή ἐπιλάθῃ ὅσιε, θλίψεσι παντοίαις καί συμφοραῖς, ἡμῶν χειμαζομένων, ἀλλά κινδύνων ῥῦσαι, ταῖς θεοδέκτοις σου δεήσεσι.

Ἀνάξιος ὑπάρχων καί ῥυπαρός, ἐμπαθής, βδελυρός, ὑπερήφανος, καί τῶν αἰσχρῶν, ἔργων ὑπηρέτης καί ὑπουργός, ἀχάριστος καί ἄσωτος, προσάξαι σοι δέησιν πενιχράν, ἐτόλμησα ὁ τάλας, ἥν πρόσδεξαι Ἀνδρέα, ὥσπερ λεπτά δύο θεόδεκτα.

Δόξα.

Ἡ ἔνθεος Σοφία ἐπί τῇ σῇ, κατοικῆσαι καρδίᾳ ηὐδόκησε, τῶν δέ σοφῶν, τήν μωράν σοφίαν ξενοπρεπῶς, τοῖς ἔργοις σου ἀπώλεσε, ταύτης οὖν μετόχους πάντας ἡμᾶς, ἀνάδειξον Ἀνδρέα, τῷ θρόνῳ τῆς Τριάδος, εἰς τούς αἰώνας παριστάμενος.

Και νῦν. Θεοτοκίον.

Λαβίδα Ἠσαΐας πάλαι ποτέ, τόν πυρφόρον κατέχουσαν ἄνθρακα, καί Ἀββακούμ, ὄρος σε κατάσκιον καί δασύ, Παρθένε ἑωράκασιν, ἄφλεκτον ὡς βάτον ὁ Μωϋσῆς, ὁ δέ Ἀνδρέας νῦν δέ, τήν σήν ἁγίαν Σκέπην, ὑπερφυῶς κατεῖδε Δέσποινα.

Καταβασία.

\>\> Ἅπας γηγενής, σκιρτάτω τῷ πνεύματι, λαμπαδουχούμενος· πανηγυριζέτω δέ, ἀΰλων Νόων φύσις γεραίρουσα, τά ἱερά θαυμάσια τῆς Θεομήτορος, καί βοάτω· Χαίροις Παμμακάριστε. Θεοτόκε, Ἁγνή, Ἀειπάρθενε.

Ἐξαποστειλάριον τοῦ ὁσίου.
Ἦχος δ´. Ὁ οὐρανόν τοῖς ἄστροις.

Τῆς εὐσεβείας πάντες, τόν ἱερόν καθηγητήν, ἀξιοχρέως ἐν ὕμνοις, ἀνευφημήσωμεν πιστοί, ὡς ἀπλανῆ τῶν ἐν σκότει, τῆς ἀγνωσίας ὁδηγόν.

Θεοτοκίον. Ὅμοιον.

Καί σέ μεσίτριαν ἔχω, πρός τόν φιλάνθρωπον Θεόν. Μή μου ἐλέγξῃ τάς πράξεις, ἐνώπιον τῶν ἀγγέλων· παρακαλῶ σε Παρθένε, βοήθησόν μοι ἐν τάχει.

Εἰς τούς Αἴνους, ἱστῶμεν στίχους δ΄, καί ψάλλομεν στιχηρά προσόμοια.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν μάρτυσι.

Μοναζόντων τά τάγματα, καί πιστῶν τά συστήματα, ἑορτήν χαρμόσυνον δεῦτε σήμερον, πνευματικῶς συγκροτήσωμεν, ἐνθέοις ἐν ᾄσμασι, τόν θεράποντα Χριστοῦ, ἀνυμνοῦντες καί λέγοντες· καθικέτευε, τόν Δεσπότην τῶν ὅλων δωρηθῆναι, ταῖς ψυχαῖς ἡμῶν Ἀνδρέα, τό ταπεινόν Χριστοῦ φρόνημα.

Καθαρότατον θάλαμον, σήν καρδίαν πανόλβιε, εἰς Θεοῦ κατοίκησιν ἐργασάμενος, ἔσωθεν τούτου γενόμενος, Φωτί ἀνεσπέρῳ τε, καί ἀκτίσι θεϊκαῖς, λαμπρυνθείς τήν διάνοιαν, ἐχρημάτισας, ἀκηλίδωτον ἔσοπτρον τήν δόξαν, τῆς Τριάδος ἐξαστράπτον, κόσμου Ἀνδρέα τοῖς πέρασι.

Τό δοχεῖον τῆς χάριτος, Παρακλήτου τό σκήνωμα, τόν λαμπρόν ἀδάμαντα τῆς ἀσκήσεως, τόν ταπεινώσει συντρίψαντα, δαιμόνων τάς φάλαγγας, καί εἰς τέλος τήν αὐτῶν, καταργήσαντα δύναμιν, τόν θεόκλητον, εὐφημήσωμεν ἅπαντες Ἀνδρέαν, τήν ἐτήσιον τελοῦντες, τῆς αὐτοῦ μνήμης πανήγυριν.

Τῶν ῥεόντων τό ἄστατον, βδελυξάμενος ὅσιε, και τρυφήν τήν μένουσαν ἐκλεξάμενος, ἐν ξενιτείᾳ τόν βίον σου, διήνυσας ἄριστα, καί λιμένι θεϊκῷ, προσωρμίσθης ἐν πνεύματι, τήν ἀνέκφραστον, τοῦ Δεσπότου σου δόξαν ἐποπτεύων, καί ἀντίδοσιν τῶν πόνων, απολαμβάνων μακάριε.

Δόξα. Ἦχος α΄.

Ἡ κρίσις ἡ ἐμή δικαία ἐστί, τό ἀψευδές τοῦ Θεοῦ ἡμῶν στόμα πρός Ἰουδαίους πάλαι ἔφησεν. Ὅθεν οὐκ ἐξ ἀνθρώπων ἀλλ᾽ ἄνωθεν ἡ ἀληθής δόξα καί ἔπαινος τοῖς ἁγίοις δεδώρηται. Ἐλεεῖ γάρ ὁ Κύριος ὅν βούλεται ἐλεεῖν καί πλατύνει τούς οἰκτιρμούς αὐτοῦ ἐφ᾽ ὅν θέλει Αὐτός οἰκτιρῆσαι. Διό καί Ἀνδρέαν, ὄντα σαλόν καί ἄτιμον, τοῦ Παρακλήτου ἡ χάρις ἐδόξασεν καί θεόπτην εἰργάσατο. Ταῖς τοῦ σοῦ ὁσίου πρεσβείαις Χριστέ ὁ Θεός, ἀξίωσον ἡμᾶς ἑαυτούς ὑποτάσσειν τῷ σῷ δικαίῳ θελήματι· καί μή ἐάσῃς ἡμᾶς ταῖς γηΐναις τῶν καρδιῶν ἡμῶν πλανᾶσθαι ἐννοίαις. Οὐκ ἐστι γάρ δίκαιος πλήν Σου, μόνε φιλάνθρωπε.

Καί νῦν. Θεοτοκίον. Ἦχος ὁ αὐτός.
Τῶν οὐρανίων ταγμάτων.

Τά μεγαλεῖα σου Κόρη τίς διηγήσεται. Σύ γάρ τῶν καθ᾽ ἑκάστην, διασώζεις κινδύνων, πάντας τούς προστρέχοντας εὐσεβῶς, πρός τήν σήν ἀγαθότητα, καί καταφεύγοντας Πάναγνε ἐσαεί, ὑπό Σκέπην τήν ἁγίαν σου.

Δοξολογία Μεγάλη καί Ἀπόλυσις.

---

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τυπικά ἐκ τῆς γ΄καί στ΄ᾠδῆς τοῦ κανόνος τοῦ ὁσίου.

Ἀποστολικόν καί Ευαγγελικόν ἀνάγνωσμα λέγεται διπλοῦν, ἤτοι τά τῆς τυχούσης ἡμέρας καί τά τοῦ ἁγίου (ζήτει αὐτά εἰς τάς ἀντιστοίχους περικοπάς τῆς ἑορτῆς τοῦ ἁγίου Σάββα τήν ε᾽ Δεκεμβρίου).

Μετά τό ἐξαιρέτως· Ἄξιον ἐστί. Κοινωνικόν· Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούια.

---

# ΠΑΡΑΡΤΗΜΑ ΜΟΥΣΙΚΟΝ



περιέχον τό ἐκκλησιαστικόν μέλος

τῶν ἰδιομέλων τῆς παρούσης φυλλάδος.

πονηθέν εὐγενῶς ὑπό

## Παύλου Χατζηπαπᾶ

ἱεροψάλτου, τοῦ ἐκ Κοζάνης.

ΜΑΪΟΥ ΚΗ΄ Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἀνδρέου τοῦ διὰ Χριστὸν σαλοῦ.
Εἰς τὸν Ἑσπερινόν. Δόξα ἦχος πλ. α΄ Πα







-3-

www.tezaurliturgic.ro




μη η η σω ω ω ω μεν ου
τος γαρ Χριστον α γα πη η σας
και τω ε κει νου ε ρω ω τι
φλε εχθεις η λι ος καθα περ εν
ο στρα κι ι ι νω ω σκε ε ευ
ει πα ρα δο ξω ως εξ ε ε ε ε
λα α α αμψε δι ψει και λι
μω ψυ υ χει και καυ σω ω νι
πε νι ι α και γυ μνο ο ο
τη η η τι ι Δ ε κου σι ως
-5-


ε αυ το ο ον πα ρα α δους
το του ζω τη ρος η μων πα α
θος εν τη σαρ κι αυ τον
ε ε μι μη η η σα α α
α το δι ο και δι και ως
ου ρα νι ων δω ρε ων κα τη ξι
ω ω ται α να κρι νειν των
αν θρω πων τα κρυ φι ι α και
τα μα κραν ε λε εγ χειν ως
ε ε ε εγ γι ι ι ι στα Αυ
-6-


του ταις ι κε σι αις Χριστε ε ε ο
θε ε ος την σην ει ρη νην πα
ρα σχου τω ω λα α ω ω
σου και ταις ψυ χαις η μων το με
ε γα ε ε ε ε ε λε ε ε ε ε
ος
Ηχος Δι
Ο σι ε πα α τε ε ερ Ανδρε
ε α ο μυ στης των κρυπτων μυστη
ρι ων τω ου ου Πνε ευ μα α τος και
της α γνω φι λο σο φι ι ασο με ε

-7-


ε το χος γλυ κα νον τας πι κρα αν
θει ει σας τη του κα κι στου εχ
θρου παν ου ουρ γι ι ι α καρ δι
ι ι α ας η η μων και τη
ι σχυ ι της θε ο δε κτου πρε
σβει ει α ας σου πα ρα κα λε σον
η μω ω ω ω ων τας ψυ υ
χα ας τον νουν η μων εκ των γη
ι νων α α α νυ υ ψω ω σον
εις το δο ξα σαι τους υ περ χει στου


ου α γω ω ω να α α αξ σου
δι ων κα τε πλα γη η σαρξ Αγ
γε ε λω ων τα τα α α α α
α α αγ μα τα και α
ξι ω σον πα α α α αν τας η
μας αν δρει ως βα α στα α α
σαι των πει ρα σμων του πα ρον τος
βι ι ου τον χα λε πω ω ω ω τα
το ον κλυ υ υ δω ω ω ω ω να
πει ραν δε Ε χων της α σθε νει ει

-9-


ει α ας η η μων μη παυ ση
δε ε ε ο ο με ε νος υ περ
ει ρη η νη η ης του κο ο ο
ο ο ο σμου σε γαρ ι
σχυ ρον με ε σι ι ι την προς τον
Σω τη ρα α κε ε κτη η η με ε
ε ε θα
Ηχος πλ α Πα
Α αγ γε ε ε λοι ε ε νου
ρα α νω και αν θρωποι ε ε
πι τη ης γης ευ φραι νον ται

- 10 -

www.tezaurliturgic.ro




γι ι ι ι ι ου ους α α αυ
του ᾳ και πα ρα σχον τα τω γε
ε ε νει ει η η μων ᾳ ζω ην
α τε ε ζευ ξη η το ον δι δι α
της ζω η φο ο ρου εκ νε κρω ναυ
του α α να στα α σε ως
Δόξα. Ἦχος
Την υ περ α α γνον Μη τε ε
ρα του Θε ε ου δι δευ τε πα
α α αν τε ες υ μνη σω με εν

www.tezaurliturgic.ro




-13-


μη τρι κως πε ρι σκε που σαν
οι κου με ε ε νης τα α πε ε ε
ε ρα α α τα α Αυ τη
ε στιν η μων χα ρα α και ε ε
ελ πι ις και προς αυ τη ην
ο λο ψυ υ υ υ χω ως κραυ γα
ζο με εν Μη δι α λει ει
ει ει ει ει πης σκεπου σα
η η η μα ας α χραν τε ε
Δε σποι οι να την γαρ σην σκε ε ε

-14-




-15-

www.tezaurliturgic.ro





-17-


τρο ο ο ο ο πω α αυ του πο
λι τει ει ει α α δι δι δα α σκει
η η μας μη τα υ ψη λα α α
φρο ο ο ο νειν δη α λα τοις τα
πει ναις συν ε πα α α α αα
γε ε ε ε σθαι δη μη το ε
ξω θε εν μο ο ο νον του πο τη
ρι ου ου της ψυ υ χης δη ε ε πι
ι με ε λει ει ει σθαι αι δη
αλλα και το ε σω θε εν του ου ου τα







Εἰς τὸν Ὄρθρον μετὰ τὸν Ν'

Ἰδιόμελον Ἦχος Δι

-19-


Ως ρο δον παν ευ ο σμον εν
ταις αν λαι αις του θε ου ου ου η
μων πα ρα δο ξως ε ξη ην
θη η σας Πα τερ Αν δρε ε ε
ε α θε ε σπε ε ε ε σι ι
ι ι ε και θει ας ευ
ω δι ας τον κο σμον ε ε πλη η
ρω ω σας σπο ρε α ε χων και φυ
τουρ γον της δο ο ο ο ξης το ον
Κυ υ υ ρι ι ι ι ον δι


ο και ση μερον εν τη ση γε νε θλι
ω η η με ε ε ρα ορ
θο δο ξων οι δη μοι α γαλλον ται
πλου ου ου σι ι ι ω ως και αι
πο ο ο ο θω σοι κρα α α α α
ζου ου ου ου σι λυ τρω σαι η
μας ο ο ο σι ι ι ι ε της
α καθαρ του των πα θων ου υ υ
σω ω δι ι ι ας και τας
καρ δι ας η μων κα α α α


θα α α α ρον ταις προς Χει στον
ι κε ε σι ι ι αι αι αι αις
σου ου ου ου
Εἰς τοὺς Αἴνους
Δόξα ἦχος πλ. α'
Η κρι σις η ε μη δι και
αι αι α ε ε στι το α ψευ
δες του θε ου η η μων στο ο
μα προς Ι ου δαι ους πα α
λαι ε ε ε ε ε φη η η
η σεν ο θεν ουκ εξ αν θρω
ω ω ω πων αλλ α γνω ω θεν

www.tezaurliturgic.ro




ι ι μο ον του Πα ρα κλη
του η χα ρις ε δο ο ο ξα α
σε και θε ο πτη ην ειρ
γα α α α σα α α α το
Ταις του σου Ο σι ου Πρε σβει ει αις
Χει ρε ε ε ο θε ε ος α
ξι ω σον η μας ε αυ τους υ
πο τα α ασ σειν τω σω δι και
αι ω θεε λη η η μα α α α
α τι και μη ε α α σης η
-24-


μας ταις γη ι ναις των καρ δι
ων η μων πλα να α σθαι ε εν νοι
οι οι οι αις ουκ ε στι γαρ
δι ι και αι ος πλην σου μο νε
ε ρι λα α α αν θρω ω ω ω
πε
Και νυν
Α μαρ τω λων τας δε η σεις προσδε
χο με νη και θλι βο με νων στε ναγ
μον μη παρ ο ρω σα πρεσβευ ε των
εξ α γνων λα γο νων σου σω θη

www.tezaurliturgic.ro

